This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

888
A7t
V44

A 470145 DUPL


1837
ARTES
SCIENTIA
VERITAS
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
E PLURIBUS UNUM
TUEBOR
SI QUAERIS PENINSULAM AMOENAM
CIRCUMSPICE

888
A7±
V44

ARISTOPHANIS

THESMOPHORIAZUSAE

RECENSUIT

ADOLPHUS VON VELSEN.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXXXIII.

LIPSIAE, TYPIS B. G. TEUBNERI.

SOCIETATI PHILOLOGAE BONNENSI

S.

Praefatio.

Thesmophoriazusarum fabulae duo exstant codices:

1) Ravennas (R) membranaceus, forma quadrata maiore, foliorum 191, saeculo XI exaratus. Ab initio folia nonnulla madore corrupta sunt. Fabulas Aristophanias, quae quidem aetatem tulerunt, continet integras et scholia scripta manu diversa. Haec manus, fere suppar aetate primae manui, multis locis correctricis munere functa est (R^2). Inest in codice etiam altera manus correctrix paullo recentior (R^3) et tertia, Euphrosyni Bonini, XVI saeculi. Euphrosyni Bonini manum non adnotabo, cfr. commentationem meam: Über den codex Urbinas der Lysistrata und der Thesmophoriazusen des Aristophanes pag. 28.

2) Augustanus (G), nunc bibliothecae Monacensis 492, chartaceus, forma quadrata minore, saeculo XV scriptus, litteris minutis. Folia, in quibus est scriptura [sunt enim in fine et in posteriore codicis parte folia nonnulla scriptura vacua], continet 53. Atque leguntur in codice Aristophanis Thesmophoriazusae sine argumento et indice personarum usque ad fol. 19^v, Lysistrata cum argumentis, sed sine indice personarum (a fol. 19^v ad fol. 40), deinde commentarius in Archimedem de sphaera et cylindro (a fol. 40 — fol. 43^v), scholia in Pindari Isthmia (a fol. 44 — fol. 50), argumenta in Pindari carm. Nem. (a fol. 50 — fol. 54). In comoediis Aristophaniis notae personarum et eae, quae litteris, et eae, quae solis lineolis sunt indicatae, minio pictae sunt [quae lineolae — passim occurrunt etiam in R, qui in mediis versibus ad novam personam indicandam bina puncta: habet cfr. script. discr.]. Atque satis multis locis etiam ipsa poetae

verba minio sunt correcta, sed, nisi fallor, eadem est manus, atque illa, quae textum atramento exaravit: simillimi enim sunt ductus litterarum, ut una in codice inesse videatur manus. Legitur in ipso codicis tegumento inscriptio haec: *ἰωάννου τοῦ μοῦβάνου εἶμι.*

Scribebam Hanoviae cal. iun. a. MDCCCLXXXIII.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΑΙ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΚΗΔΕΣΤΗΣ *Εὐριπίδου.*
ΕΥΡΙΠΙΔΗΣ.
ΘΕΡΑΠΩΝ *Ἀγάθωνος.*
ΑΓΑΘΩΝ.
ΧΟΡΟΣ *Ἀγάθωνος.*
ΙΕΡΕΙΑ.
ΚΗΡΥΚΑΙΝΑ.
ΧΟΡΟΣ ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΩΝ.
ΓΥΝΑΙΚΕΣ ΤΙΝΕΣ.
ΚΛΕΙΣΘΕΝΗΣ.
ΠΡΥΤΑΝΙΣ.
ΣΚΥΘΗΣ ΤΟΞΟΤΗΣ.

Deest index personarum in codd. In margine superiore legitur: *ἀριστοφάνους θεσμοφοριάζουσαι R*, minio pictum: *ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΑΘΗΝΑΙΟΥ ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΑΙ προλογίζει μνησίλοχος ὁ κηδεστὴς εὐρῑπίδου G.*

ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΑΙ.

ΚΗΔ. Ὦ Ζεῦ, χελιδὼν ἆρά ποτε φανήσεται;
ἀπολεῖ μ' ἀλοῶν ἄνθρωπος ἐξ ἑωθινοῦ.
οἷόν τε, πρὶν τὸν σπλῆνα κομιδῇ μ' ἐκβαλεῖν,
παρὰ σοῦ πυθέσθαι, ποῖ μ' ἄγεις, ὦὐριπίδη;
ΕΥΡ. ἀλλ' οὐκ ἀκούειν δεῖ σε, πάνθ' ὃς αὐτίκα
ὄψει παρεστώς. *ΚΗΔ.* πῶς λέγεις; αὖθις φράσον.
οὐ δεῖ μ' ἀκούειν; *ΕΥΡ.* οὐχ ἅ γ' ἂν μέλλῃς ὁρᾶν.
ΚΗΔ. οὐδ' ἆρ' ὁρᾶν δεῖ μ'; *ΕΥΡ.* οὐχ ἅ γ' ἂν ἀκούειν δέῃ.
ΚΗΔ. πῶς μοι παραινεῖς; δεξιῶς μέντοι λέγεις.
οὐ φῂς σὺ χρῆναί μ' οὔτ' ἀκούειν οὔθ' ὁρᾶν;
ΕΥΡ. χωρὶς γὰρ αὐτοῖν ἑκατέρου 'στὶν ἡ φύσις.
ΚΗΔ. τοῦ μήτ' ἀκούειν μήθ' ὁρᾶν; *ΕΥΡ.* εὖ ἴσθ' ὅτι.

ADNOTATIO CRITICA.

v. 1 Hillerum secutus ubique *ΚΗΔ.* = *κηδεστής* scripsi. — v. 2 *ἄνθρωπος* Bekkerus. — v. 3 *τε* correctum in editione Caninii ÷ *κομιδῇ* Bekkerus. — v. 10 *ὁρᾶν*; Fritzschius. — v. 11 *ΕΥΡ.* Brunckius.

SCRIPTURAE DISCREPANTIA.

v. 1 *ΚΗΔ.*] — *RG* | Ὦ] ὦ̃ *RG* (minio pictum in *G*) | ἆρά ποτε] ἄρα πότε *RG* ‖ v. 2 ἄνθρωπος] ἄνθρωπος *RG* | ἑωθινοῦ] εωθινοῦ *R* ἐωθινοῦ *G* ‖ v. 3 τε] τι *RG* | κομιδῇ] κομιδῆ *R* κομιδὴ *G* ‖ v. 4 ὦὐριπίδη] ὦ̃ὐριπίδη *R* ὦ̃ 'υριπίδη *G* ‖ v. 5 *ΕΥΡ.*] — *R* ευ R^2 εὐ *G* | οὐκ] οὐκ' *R* | ὃς] ὅσ' *G* ‖ v. 6 παρεστώς.] παρεστῶς· corr. ex παρεστὼς· *R* | *ΚΗΔ.*] : *R* — *G* | φράσον] φράσον : — *R* ‖ v. 7 οὐ] — οὐ *RG* | *ΕΥΡ.*] : *R* — *G* | οὐχ] οὐχ' *R* | ἅ γ'] ἁγ' *R* ἃγ' *G* | μέλλῃς] μέλλεις *RG* ‖ v. 8 *ΚΗΔ.*] — *RG* | ἆρ'] ἀρ' *R* ἄρ' *G* | *ΕΥΡ.*] : *R* — *G* | οὐχ] οὐχ' *R* | ἅ γ'] ἁγ' *R* ἃ γ' *G* ‖ v. 9 *ΚΗΔ.*] — *RG* ‖ v. 10 φῂς] φῆς *RG* | οὔτ'] οὐτ' *G* | οὔθ'] οὐθ' *RG* ‖ v. 11 *ΕΥΡ.*] omm. *RG* | ἑκατέρου 'στὶν] ἑκατεροῦ 'στιν *R* ἑκατέροὐστὶν *G* ‖ v. 12 *ΚΗΔ.*] — *RG* | μήτ' ἀκούειν μήθ' ὁρᾶν;] μὴτ' ακούειν μὴθ' ὁρᾶν *G* | *ΕΥΡ.*] : *R* — *G* | ἴσθ'] corr. ex ἴσθι *R* ‖

ΚΗΔ. πῶς χωρίς; *ΕΥΡ.* οὕτω ταῦτα διεκρίθη τότε.
αἰθὴρ γὰρ ὅτε τὰ πρῶτα διεχωρίζετο,
καὶ ζῷ' ἐν αὑτῷ ξυνετέκνου κινούμενα,
ᾧ μὲν βλέπειν χρὴ πρῶτ' ἐμηχανήσατο
ὀφθαλμὸν ἀντίμιμον ἡλίου τροχῷ,
ἀκοῇ δὲ χοάνην ὦτα διετετρήνατο.
ΚΗΔ. διὰ τὴν χοάνην οὖν μήτ' ἀκούω μήθ' ὁρῶ;
νὴ τὸν Δί' ἥδομαί γε τουτὶ προσμαθών.
οἷόν γε τοὐστὶν αἱ σοφαὶ ξυνουσίαι.
ΕΥΡ. πόλλ' ἂν μάθοις τοιαῦτα παρ' ἐμοῦ. *ΚΗΔ.* πῶς ἂν οὖν
πρὸς τοῖς ἀγαθοῖς τούτοισιν ἐξεύροις ὅπως
ἔτι προσμάθοιμι χωλὸς εἶναι τὼ σκέλη;
ΕΥΡ. βάδιζε δευρὶ καὶ πρόσεχε τὸν νοῦν. *ΚΗΔ.* ἰδού.
ΕΥΡ. ὁρᾷς τὸ θύριον τοῦτο; *ΚΗΔ.* νὴ τὸν Ἡρακλέα
οἶμαί γε. *ΕΥΡ.* σίγα νυν. *ΚΗΔ.* σιωπῶ τὸ θύριον.
ΕΥΡ. ἄκου'. *ΚΗΔ.* ἀκούω καὶ σιωπῶ τὸ θύριον.
ΕΥΡ. ἐνταῦθ' Ἀγάθων ὁ κλεινὸς οἰκῶν τυγχάνει
ὁ τραγῳδοποιός. *ΚΗΔ.* ποῖος οὗτος ἀγάθων;

ADNOTATIO CRITICA.

v. 15 fortasse scribendum est *κινούμενος* cfr. scholia. — v. 16 *πρῶτ' ἐμηχανήσατο* Kusterus. — v. 18 *ἀκοῇ δὲ χοάνην* Dobraeus. — v. 21 *γε* lemma scholii — *τοὐστὶν* Fritzschius. — v. 23 *ἐξεύροις* Reiskius. — v. 24 *προσμάθοιμι* Wellauerus. — v. 28 *ἀκούω* Brunckius. — v. 30 *ἀγάθων* Scaliger.

SCRIPTURAE DISCREPANTIA.

v. 13 *ΚΗΔ.*] — *RG* | *ΕΥΡ.*] : *R* — *G* ‖ v. 14 *αἰθὴρ*] — *αἰθὴρ* *RG* ‖ v. 15 *αὑτῷ*] *αυτῷ* *R* *αὐτῷ* *G* ‖ v. 16 *ᾧ*] corr. ex *ῷ* R^2 | *πρῶτ' ἐμηχανήσατο*] *πρῶτα μηχανήσατο* *RG* ‖ v. 18 *ἀκοῇ δὲ χοάνην*] *ἀκοὴν δεχοάνης* *R* *ἀκοὴν δὲ χοάνης* *G* ‖ v. 19 *ΚΗΔ.*] om. *R* *μ*^{σι}*νη* R^2 *μ*^{σί}*νη* *G* | *μήτ'*] *μήθ'* *R* *μὴθ'* *G* | *μήθ'*] *μὴθ'* *G* ‖ v. 20 *τουτὶ*] ras. corr. ex *τοῦτὶ* in *R* ‖ v. 21 *γε*] *τε* *RG* | *τοὐστὶν*] *π' οὐστιν* *R* *ποὐστὶν* *G* ‖ v. 22 *ΕΥΡ.*] — *RG* | *ἐμοῦ*] *ἐμοὺ* corr. ex *ἐμοί* *R* | *ΚΗΔ.*] : *R* — *G* ‖ v. 23 *ἐξεύροις*] *ἐξεύροιμ'* corr. ex *ἐξεύροιμ'* *R* *ἐξεύροιμ'* *G* ‖ v. 24 *προσμάθοιμι*] *προσμάθοι· μὴ* *R* *προσμάθοι μὴ* *G* ‖ v. 25 *ΕΥΡ.*] erasa est nota personae in *R* — *G* | *ΚΗΔ.*] : *R* — *G* | *ἰδού*] corr. ex *ἰδοὺ* *R* ‖ v. 26 *ΕΥΡ.*] — *RG* | *ΚΗΔ.*] : *R* — *G* ‖ v. 27 *ΕΥΡ.*] : *R* — *G* | *νυν*] *νῦν* *RG* | *ΚΗΔ.*] : *R* — *G* ‖ v. 28 versus post v. 30 legitur *R* corr. R^2 | *ΕΥΡ.*] om. *R*—*G* | *ἄκου'*] *ἄκουε* *RG* | *ΚΗΔ.*] : *R*—*G* | *ἀκούω*] *ἀκούσω* *RG* ‖ v. 29 *ΕΥΡ.*] — *G* ‖ v. 30 *ΚΗΔ.*] : *R* — *G* | *ἀγάθων*] *ἀγάθων* *RG*

ΕΥΡ. ἔστιν τις Ἀγάθων *ΚΗΔ.* μῶν ὁ μέλας ὁ καρτερός;
ΕΥΡ. οὔκ, ἀλλ' ἕτερός τις· οὐχ ἑόρακας πώποτε;
ΚΗΔ. μῶν ὁ δασυπώγων; *ΕΥΡ.* οὐχ ἑόρακας πώποτε;
ΚΗΔ. μὰ τὸν Δί' οὔτοι γ', ὥστε κἀμέ γ' εἰδέναι.
ΕΥΡ. καὶ μὴν βεβίνηκας σύ γ', ἀλλ' οὐκ οἶσθ' ἴσως.
ἀλλ' ἐκποδὼν πτήξωμεν, ὡς ἐξέρχεται
θεράπων τις αὐτοῦ, πῦρ ἔχων καὶ μυρρίνας.
[προθυσόμενος ἔοικε τῆς ποιήσεως.]
ΘΕΡ. εὔφημος πᾶς ἔστω λαός,
στόμα συγκλήσας· ἐπιδημεῖ γὰρ
θίασος Μουσῶν ἔνδον μελάθρων
τῶν δεσποσύνων μελοποιῶν.
ἐχέτω δὲ πνοὰς νήνεμος αἰθήρ,
κῦμα δὲ πόντου μὴ κελαδείτω
γλαυκόν· *ΚΗΔ.* βομβάξ. *ΕΥΡ.* σίγα. *ΚΗΔ.* τί λέγει;
ΘΕΡ. πτηνῶν τε γένη κατακοιμάσθω,
θηρῶν τ' ἀγρίων πόδες ὑλοδρόμων
μὴ λυέσθων. *ΚΗΔ.* βομβαλοβομβάξ.

ADNOTATIO CRITICA.

v. 38 versum spurium esse vidit Dindorfius. — v. 39 *λαός* scholiasta et Suidas. — v. 40 *συγκλήσας* Dindorfius. — v. 45 *ΚΗΔ.* post *σίγα* addidit Reiskius.

SCRIPTURAE DISCREPANTIA.

v. 31 *ΕΥΡ.*] om. *R* — *G* | *ἔστιν τις*] *ἔστιν τίς R ἐστιν τίς G* | *ΚΗΔ.*] : *R* — *G* ‖ v. 32 *ΕΥΡ.*] om. *R* — *G* | *οὔκ*] *οὐκ G*|*οὐχ*] : *οὐχ*' sed erasum est : *R* — *οὐχ G* | *ἑόρακας*] *εόρακα R ἑώρακα G* ‖ v. 33 versum omm. *RG* in margine supplevit R^2 | *ΚΗΔ.*] *M* R^2 | *ΕΥΡ.*] om. R^2 ‖ v. 34 *ΚΗΔ.*] erasa est nota personae in *R* om. *G* | *οὔτοι γ'*] *οὐτοί γ' RG* | *κἀμέ γ'*] *καὶ μέγ'* sed erasum est *ὶ R καὶ μέγ' G* ‖ v. 35 *ΕΥΡ.*] omm. *RG* | *βεβίνηκας*] corr. ex *βεαίνηκας R* ‖ v. 36 *ἐκποδὼν*] *εκποδῶν R ἐκποδῶν G* | *πτήξωμεν*] corr. ex *πτήξωμαι R παραπτήξωμεν G* ‖ v. 37 *τις*] *τίς RG* ‖ v. 39 *ΘΕΡ.*] — *R θερ*$^{\pi}$*ά* add. R^2 *θερ*$^{\pi\omega\nu}$*ά G* | *λαός*] *λεὼς R λεώς G* | v. 40 *συγκλήσας*] *συγκλείσας* corr. ex *συγκλεῖσας R συγκλείσας G* | v. 42 *μελοποιῶν*] *μελωποιῶν RG* | v. 43 *πνοὰς*] corr. ex *πνοᾶς R* ‖ v. 44 *πόντου*] corr. ex *πὸντού R* ‖ v. 45 *ΚΗΔ.*] om. *R μνησί* R^2 *μνη*$^{\sigma\acute{\iota}}$ *G* | *ΕΥΡ.*] — *R εὐ*$^{\varrho}$ add. R^2 | *ΚΗΔ. τί*] *τί RG* | *λέγει*] *λεγει* ras. corr. ex *λεγεις* in R ‖ v. 46 *ΘΕΡ.*] — *R* Θερ. add. R^2 | *κατακοιμάσθω*] ras. corr. ex *κατὰκοιμάσθω* in *R* ‖ v. 48 *ΚΗΔ.*]

ΘΕΡ. μέλλει γὰρ ὁ καλλιεπὴς Ἀγάθων,
πρόμος ἡμέτερος *ΚΗΔ.* μῶν βινεῖσθαι;
ΘΕΡ. τίς ὁ φωνήσας; *ΚΗΔ.* νήνεμος αἰθήρ.
ΘΕΡ. δρυόχους τιθέναι δράματος ἀρχάς.
κάμπτει δὲ νέας ἀψῖδας ἐπῶν.
τὰ δὲ τορνεύει, τὰ δὲ κολλομελεῖ,
καὶ γνωμοτυπεῖ κἀντονομάζει
καὶ κηροχυτεῖ καὶ γογγύλλει
καὶ χοανεύει. *ΚΗΔ.* καὶ λαικάζει.
ΘΕΡ. τίς ἀγροιώτας πελάθει θριγκοῖς;
ΚΗΔ. ὃς ἕτοιμος σοῦ τοῦ τε ποιητοῦ
τοῦ καλλιεποῦς κατὰ τοῦ θριγκοῦ
συγγογγύλας καὶ συστρέψας
τουτὶ τὸ πέος χοανεῦσαι.
ΘΕΡ. ἦ που νέος γ' ὢν ἦσθ' ὑβριστής, ὦ γέρον.
ΕΥΡ. ὦ δαιμόνιε, τοῦτον μὲν ἔα χαίρειν, σὺ δὲ
Ἀγάθωνά μοι δεῦρ' ἐκκάλεσον πάσῃ τέχνῃ.

ADNOTATIO CRITICA.

v. 50 *πρόμος* Scaliger. — v. 53 *ἀψῖδας* Suidas. — v. 56 *γογγύλλει* Porsonus. — v. 58 *ἀγροιώτας* Bentleius. — v. 61 *συγγογγύλας* Engerus.

SCRIPTURAE DISCREPANTIA.

— *R* $\mu\nu\overset{\sigma\acute{\iota}}{\eta}$ *G* | notae perss., quas a v. 48—52 addiderat R^2, erasae sunt ‖ v. 49 *ΘΕΡ.*] — *R* ‖ v. 50 *πρόμος*] *πράμος RG* | *ΚΗΔ.*] om. *R* $\mu\nu\overset{\sigma\acute{\iota}}{\eta}$ *G* ‖ v. 51 *ΘΕΡ.*] — *RG* | *ΚΗΔ.*] — *RG* ‖ v. 52 *ΘΕΡ.*] — *RG* ‖ v. 53 *ἀψῖδας*] *ἀσπίδας R ασπίδας G* ‖ v. 54 *τὰ δὲ*] *τάδε R* corr. in *τά δὲ* R^2 *τάδε G* | *τὰ δὲ* alterum] *τάδε RG* ‖ verba a v. 45—57 ita distributa sunt, ut singulos versus claudant voces: *γλαυκόν* | *βομβάξ* | *λέγει* | *κατακοιμάσθω* | *ὑλοδρόμων* | *λυέσθων* | *βομβαλοβομβάξ* | *Ἀγάθων* | *ἡμέτερος* | *βινεῖσθαι* | *φωνήσας* | *αἰθήρ* | *ἀρχάς* | *ἐπῶν* | *κολλομελεῖ* | *κἀντονομάζει* | *γογγυλίζει* | *χοανεύει* | *λαικάζει RG* ‖ v. 56 *γογγύλλει*] *γογγυλίζει RG* ‖ v. 57 *ΚΗΔ.*] erasa est nota pers. in *R* — *G* | *λαικάζει*] in rasura est *αι*, correctum, ut videtur, ex *ε R* ‖ v. 58 *ΘΕΡ.*] erasa est nota pers. in *R* om. *G* | *ἀγροιώτας*] *ἀγριώτας RG* ‖ v. 59 *ΚΗΔ.*] omm. *RG* | *ποιητοῦ*] *ποητοῦ RG* ‖ v. 60 *κατὰ*] om. *R κατα* supra versum add. R^2 om. *G* ‖ v. 61 *συγγογγύλας*] *γογγυλίσας RG* ‖ v. 63 *ΘΕΡ.*] erasa est nota pers. in *R* — *G* | *ἦ*] *ῆ R ἡ G* | *ὢν*] corr. ex *ὦν R* | *γέρον*] corr. ex *γέρων G* | v. 64 *ΕΥΡ.*] — *RG*

ΘΕΡ. μηδὲν ἱκέτευ'· αὐτὸς γὰρ ἔξεισιν τάχα,
καὶ γὰρ μελοποιεῖν ἄρχεται· χειμῶνος οὖν
ὄντος κατακάμπτειν τὰς στροφὰς οὐ ῥᾴδιον,
ἢν μὴ προΐῃ θύρασι πρὸς τὸν ἥλιον.
ΚΗΔ. τί οὖν ἐγὼ δρῶ; ΕΥΡ. περίμεν', ὡς ἐξέρχεται.
ὦ Ζεῦ, τί δρᾶσαι διανοεῖ με τήμερον;
ΚΗΔ. νὴ τοὺς θεοὺς ἐγὼ πυθέσθαι βούλομαι
τί τὸ πρᾶγμα τουτί. τί στένεις; τί δυσφορεῖς;
οὐ χρῆν σε κρύπτειν, ὄντα κηδεστήν, ἐμέ.
ΕΥΡ. ἔστιν κακόν μοι μέγα τι προπεφυραμένον.
ΚΗΔ. ποῖόν τι; ΕΥΡ. τῇδε θἠμέρᾳ κριθήσεται
εἴτ' ἔστ' ἔτι ζῶν εἴτ' ἀπόλωλ' Εὐριπίδης.
ΚΗΔ. καὶ πῶς; ἐπεὶ νῦν γ' οὔτε τὰ δικαστήρια
μέλλει δικάζειν οὔτε βουλῆς ἐσθ' ἕδρα,
ἐπεὶ τρίτη 'στὶ Θεσμοφορίων, ἡ μέση.
ΕΥΡ. τοῦτ' αὐτὸ γάρ τοι κἀπολεῖν με προσδοκῶ.
αἱ γὰρ γυναῖκες ἐπιβεβουλεύκασί μοι,
κἀν Θεσμοφόροιν μέλλουσι περί μου τήμερον
ἐκκλησιάζειν ἐπ' ὀλέθρῳ. ΚΗΔ. τιὴ τί δή;
ΕΥΡ. ὅτιὴ τραγῳδῶ καὶ κακῶς αὐτὰς λέγω.
ΚΗΔ. νὴ τὸν Ποσειδῶ καὶ δίκαιά γ' ἂν πάθοις.

ADNOTATIO CRITICA.

vv. 70 et 71 in distributione personarum secutus sum Kusterum. — v. 74 *ἐμέ* Valckenarius. — v. 83 *περί μου* Brunckius. — v. 86 *δίκαιά γ' ἄν* Scaliger.

SCRIPTURAE DISCREPANTIA.

v. 66 *ΘΕΡ.*] — *RG* | *μηδὲν*] *μὴδὲν R* | *ἱκέτευ'*] *ἱκέτευ RG* (*G* corr. ex *ἱκέτευε*) ‖ v. 69 *ἢν*] *ἡν R* ‖ v. 70 *ΚΗΔ.*] om. *R* — *G* | *ΕΥΡ.*] : *R* — *G* ‖ v. 71 *ὦ*] — *ὦ RG* ‖ v. 72 *ΚΗΔ.*] — *RG* ‖ v. 73 *τουτί.*] *τουτί·* corr. ex *τουτὶ· R τουτὶ*; *G* ‖ v. 74 *ἐμέ*] *ἐμόν RG* ‖ v. 75 *ΕΥΡ.*] — *RG* | *ἔστιν*] *ἐστὶν G* ‖ v. 76 *ΚΗΔ.*] — *RG* | *ΕΥΡ.*] : *R* — *G* | *θἠμέρᾳ*] *θ' ἡμέρα R θ' ἡμέρᾳ G* ‖ v. 77 erasa est ante versum nota pers. in *R* | *εἴτ'*] *εἶτ' R* | *εἴτ'* alterum] *εἶτ' R* | *ἀπόλωλ'*] *ἀπόλωλ'· R* ‖ v. 78 *ΚΗΔ.*] — *RG* | *ἐπεὶ*] : *ἐπεὶ R* | *νῦν γ'*] *νῦν G* | *οὔτε*] *οὔτε R* ‖ v. 79 *ἕδρα*,] *ἑδρα· R* ‖ v. 80 *τρίτη 'στὶ*] *τρίτη 'στι· R τρίτῃστὶ G* | *Θεσμοφορίων*,] *Θεσμοφορίων· R Θεσμοφορίων G* ‖ v. 81 *ΕΥΡ.*] — *RG* ‖ v. 83 *περί μου*] *περὶ εμοῦ R περὶ ἐμοῦ G* ‖ v. 84 *ΚΗΔ.*] : *R* om. spatio relicto *G* | *τιὴ τί δή*;] *τίὴ τὶ δὴ G* ‖ v. 85 *ΕΥΡ.*] — *RG* | *τραγῳδῶ*] *τραγωδῶ RG* ‖ v. 86 *ΚΗΔ.*] — *RG* | *δίκαιά γ' ἄν*] *δί' και' ἂν R δία δίκαι' ἂν G*

ἀτὰρ τίν' ἐκ τούτων σὺ μηχανὴν ἔχεις;
ΕΥΡ. Ἀγάθωνα πεῖσαι τὸν τραγῳδοδιδάσκαλον
εἰς Θεσμοφόροιν ἐλθεῖν. ΚΗΔ. τί δράσοντ'; εἰπέ μοι.
ΕΥΡ. ἐκκλησιάσοντ' ἐν ταῖς γυναιξί, χἂν δέῃ,
λέξονθ' ὑπὲρ ἐμοῦ. ΚΗΔ. πότερα φανερῶς, ἢ λάθρᾳ;
ΕΥΡ. λάθρᾳ, στολὴν γυναικὸς ἠμφιεσμένον.
ΚΗΔ. τὸ πρᾶγμα κομψὸν καὶ σφόδρ' ἐκ τοῦ σοῦ τρόπου·
τοῦ γὰρ τεχνάζειν ἡμέτερος ὁ πυραμοῦς.
ΕΥΡ. σίγα. ΚΗΔ. τί δ' ἔστιν; ΕΥΡ. ἀγάθων ἐξέρχεται.
ΚΗΔ. καὶ ποῦ ποτ' ἐστίν; ΕΥΡ. οὗτος οὐκκυκλούμενος.
ΚΗΔ. ἀλλ' ἢ τυφλὸς μέν εἰμ'; ἐγὼ γὰρ οὐχ ὁρῶ
ἄνδρ' οὐδέν' ἐνθάδ' ὄντα, Κυρήνην δ' ὁρῶ.
ΕΥΡ. σίγα· μελῳδεῖν γὰρ παρασκευάζεται.
ΚΗΔ. μύρμηκος ἀτραπούς, ἢ τί διαμινύρεται;

ADNOTATIO CRITICA.

v. 87 *τούτων* Berglerus, sed nescio, an praestet, ut retenta *ταύτης* voce statuamus excidisse post v. 86 versum in hunc fere modum comparatum: *ἦν σοι μεγίστην ἐπιτιθῶσι ζημίαν.* — v. 90 *χἂν* Marklandus. — v. 91 *φανερῶς* Cobetus. — v. 93 fortasse scribendum est: *καὶ σφόδρ' ἦν τοῦ σοῦ τρόπου·* — v. 95 *ἀγάθων* Brunckius. — v. 96 *ποῦ ποτ' ἐστίν* Dindorfius. — *ΕΥΡ.* Dobraeus. — v. 97 *ἀλλ' ἢ τυφλὸς μέν εἰμ'*; Lentingius. — v. 99 *γὰρ* Bergkius. — v. 100 *διαμινύρεται* Dawesius.

SCRIPTURAE DISCREPANTIA.

v. 87 *τούτων*] *ταύτης RG* ‖ v. 88 *ΕΥΡ.*] — *RG* | *τραγῳδοδιδάσκαλον*] *τραγωδοδιδάσκαλον·* corr. ex *τραγωδωδιδάσκαλον· R τραγωδοδιδάσκαλον G* ‖ v. 89 *εἰς*] *ἐς R ἐν G* | *ΚΗΔ.*] : *R* — *G* ‖ v. 90 *ΕΥΡ.*] — *RG* | *ἐκκλησιάσοντ'*] *ἐκκλησιάζοντ' G* | *ταῖς*] deletum est post *ταῖς* vocem: *γῦν τ* in *G* | *γυναιξί*] *γυναιξὶν R* | *χἂν*] *κἀν R κἂν G* ‖ v. 91 *ὑπὲρ ἐμοῦ*] *ὑπερεμοῦ R* | *ΚΗΔ.*] : *R* — *G* | *φανερῶς*] *φανερὸν RG* | *λάθρᾳ*] *λάθρα RG* ‖ v. 92 *ΕΥΡ.*] — *RG* | *λάθρᾳ*] *λάθρα RG* ‖ v. 93 *ΚΗΔ.*] om. *R* — *G* | *σφόδρ'*] *σφόδρα G* ‖ v. 94 *πυραμοῦς*] corr. ex *πυραμούς R* ‖ v. 95 *ΕΥΡ.*] — *RG* | *ΚΗΔ.*] omm. *RG* | *δ' ἔστιν*] *δ' εστιν R δεστὶν G* | *ΕΥΡ.*] : *R* — *G* | *ἀγάθων*] *ἀγάθων RG* ‖ v. 96 *ΚΗΔ.*] — *RG* | *ποῦ ποτ' ἐστίν; ΕΥΡ. οὗτος οὐκκυκλούμενος.*] *ποῖο* (sic) *εστὶν οὗτος*: *οὐκκυκλούμενος· R ποῖος ἐστὶν οὗτος* (spatio rel.) *οὐκκυκλούμενος G* ‖ v. 97 *ΚΗΔ.*] — *R* om. *G* | *ἦ τυφλὸς μέν εἰμ'*] *ἡ τυφλὸς* (corr. ex *τυφλός*) *μέν* (corr. ex *μὲν*) *ειμὶ R ἢ τυφλὸς μὲν εἰμὶ G* | *οὐχ*] *οὐχ' R* ‖ v. 98 *οὐδέν'*] *οὐδὲν R* ‖ v. 99 *ΕΥΡ.*] — *RG* | *μελῳδεῖν*] *μελωδεῖν· R μελωδεῖν G* | *γὰρ*] *ἂν RG* ‖ v. 100 *ΚΗΔ.*] — *RG* | *διαμινύρεται*] *διαμινυρίζεται RG*

ΑΓΑ. ἱερὰν Χθονίαις δεξάμεναι λαμπάδα κοῦραι
ξὺν ἐλευθέρᾳ πατρίδι χορεύσασθε βοάν.
ΧΟΡ. τίνι δὲ δαιμόνων ὁ κῶμος;
λέγε νυν· εὐπείστως δὲ τοὐμὸν
μάκαρας ἔχει σεβίσαι.
ΑΓΑ. ἄγε νυν ὄλβιζε Μοῦσα
χρυσέων ῥύτορα τόξων
Φοῖβον, ὃς ἱδρύσατο χώρας
γύαλα Σιμουντίδι γᾷ.
ΧΟΡ. χαῖρε καλλίσταις ἀοιδαῖς,
Φοῖβ', ἐν εὐμούσοισι τιμαῖς
γέρας ἱερὸν προφέρων.
ΑΓΑ. τάν τ' ἐν ὄρεσι δρυογόνοισι
κόραν ἀείσατ'
Ἄρτεμιν ἀγροτέραν.
ΧΟΡ. ἕπομαι κλῄζουσα σεμνὸν
γόνον ὀλβίζουσα Λατοῦς
Ἄρτεμιν ἀπειρολεχῆ.

ADNOTATIO CRITICA.

vv. 102 et 103 ξὺν ἐλευθέρᾳ πατρίδι verba mutanda non esse videntur cfr. vv. 337 sqq., 365, 806, 1143. — v. 103 χορεύσασθε Bentleius. — v. 104 δὲ add. Reisigius. — v. 105 εὐπείστως Reiskius. — v. 106 μάκαρας Ritschelius, sed fortasse praestat: πάντα τιν'. — ἔχει Suidas. — v. 107 ὄλβιζε Bentleius. — v. 115 ἀείσατ' Kusterus.

SCRIPTURAE DISCREPANTIA.

v. 101 *ΑΓΑ.*] om. *R* ἀγᾶ add. R^2 ‖ v. 102 ξὺν ἐλευθέρᾳ] ξυνελευθέρᾳ *RG* ‖ v. 103 χορεύσασθε] χορεύσασθαι *RG* ‖ v. 104 *ΧΟΡ.*] om. *R* χ add. R^2 | τίνι δὲ] τίνι *RG* ‖ v. 105 νυν] νῦν *RG* | εὐπείστως] εὐπίστως *RG* ‖ v. 106 μάκαρας] δαίμονας *RG* | ἔχει] ἔχεις *RG* ‖ v. 107 *ΑΓΑ.*] om. *R* αγᾶ add. R^2 | ἄγε] ante ἄγε (sic) erasum est ἀλλ' in *R* | νυν] νῦν *RG* | ὄλβιζε] ὅπλιζε *RG* ‖ v. 111 *ΧΟΡ.*] om. *R* χ add. R^2 ‖ v. 114 *ΑΓΑ.*] — *R* αγᾶ add. R^2 ‖ v. 115 ἀείσατ'] ἀείσαντ' *R* ἄεισαν τ' *G* ‖ v. 117 *ΧΟΡ.*] — *RG* ‖ verba a v. 101—129 ita distributa sunt, ut singulos versus claudant voces: δεξάμεναι | ξυνελευθέρᾳ | βοάν | νῦν | τοὐμὸν | σεβίσαι | Μοῦσα | τόξων | χώρας | γᾷ. | ἀοιδαῖς | τιμαῖς | προφέρων | δρυογόνοι (in δρυογόνοισι) Ἄρ (in Ἄρτεμιν) | ἀγροτέραν | σεμνὸν | Λατοῦς | ἀπειρολεχῆ | Ἀσιάδος | Φρυγίων | Χαρίτων | ἄνασσαν | ὕμνων | δοκίμῳ | ὄμμασιν | ὑπὸς | τιμᾷ | Λατοῦς *RG*

ΑΓΑ. *Λατώ τε, κρούματά τ' Ἀσιάδος*
ποδὶ παρ' εὔρυθμα Φρυγίων
δινεύματα Χαρίτων.
ΧΟΡ. *σέβομαι Λατώ τ' ἄνασσαν*
κίθαρίν τε ματέρ' ὕμνων
ἄρσενι βοᾷ δόκιμον·
τᾷ φάος ἔσσυτο δαιμονίοις θεοῦ ὄμμασιν,
ἡμετέρας τε δι' αἰφνιδίου ὀπός.
ΑΓΑ. *ὧν χάριν ἄναχτ' ἄγαλλε Φοῖβον.*
ΧΟΡ. *χαῖρ', ὄλβιε παῖ Λατοῦς.*
ΚΗΔ. *ὡς ἡδὺ τὸ μέλος, ὦ πότνιαι Γενετυλλίδες,*
καὶ θηλυδριῶδες καὶ κατεγλωττισμένον
καὶ μανδαλωτόν, ὥστ' ἐμοῦ γ' ἀκροωμένου
ὑπὸ τὴν ἕδραν αὐτὴν ὑπῆλθε γάργαλος.
καί σ', ὦ νεανίσχ', ὅστις εἶ, κατ' Αἰσχύλον
ἐκ τῆς Λυκουργείας ἐρέσθαι βούλομαι,
ποδαπὸς ὁ γύννις; τίς πάτρα; τίς ἡ στολή;
τίς ἡ τάραξις τοῦ βίου; τί βάρβιτος

ADNOTATIO CRITICA.

v. 121 *παρ' εὔρυθμα* Dindorfius. — v. 122 *δινεύματα* Bentleius. — v. 125 *δόκιμον*, quod scholiasta quoque legit, Dindorfius. — v. 126 *φάος* Engerus. — *θεοῦ* adiecit Meinekius. — v. 128 *τιμᾷ* glossema esse vidit Dindorfius. — ante versus 128 et 129 adieci *ΑΓΑ.* et *ΧΟΡ.* — v. 134 *ὅστις* editio Veneta a. 1538. — v. 135 *Λυκουργείας* Dobraeus. — *ἐρέσθαι* Dindorfius.

SCRIPTURAE DISCREPANTIA.

v. 120 *ΑΓΑ.*] — *RG* ‖ v. 121 *παρ' εὔρυθμα*] *παράρυθμ' εὔρυθμα RG* (*εὐρυθμα R*) ‖ v. 122 *δινεύματα*] *διανεύματα RG* ‖ v. 123 *ΧΟΡ.*] omm. *RG* ‖ v. 124 *ὕμνων*] corr. ex *ὑμνῶν* in *R* ‖ v. 125 *δόκιμον*] *δοκίμῳ RG* ‖ v. 126 *τᾷ*] — *τᾶ G* | *φάος*] *φῶς RG* | *θεοῦ ὄμμασιν*] *ὄμμασιν RG* ‖ v. 127 *δι' αἰφνιδίου*] *διαφνιδίου R δι' αιφνιδίου G* | *ὀπός*] *ὀπὸς* corr. ex *ὀπῶς G* ‖ v. 128 *ΑΓΑ.*] omm. *RG* | *Φοῖβον*] *φοῖβον τιμᾷ RG* ‖ v. 129 *ΧΟΡ.*] om. *R* — *G* ‖ post v. 129 novo versu est parepigraphe: *ὀλολύξεις γέ-*
λ
ρων R — *ὀλολύξεις γέρων G* | v. 130 *ΚΗΔ.*] om. *R* *μνησι* add. *R*^{2} — *G* | *πότνιαι*] *πότνια RG* ‖ v. 134 *νεανίσχ', ὅστις*] *νεανίσχ' εἴ τις* (*ε* in *εἴ* ex corr.) *R νεανίσκ' εἴ τις G* | v. 135 *Λυκουργείας*] *λυκουργίας RG* | *ἐρέσθαι*] *ἔρεσθαι RG* ‖ v. 136 *ὁ*] *ὦ G* ‖ v. 137 *βάρβιτος*] correxit ex *σάρβιτος*, ut videtur, *R*^{2}

λαλεῖ κροκωτῷ; τί δὲ λύρα κεκρυφάλῳ;
τί λήκυθος καὶ στρόφιον; ὡς οὐ ξύμφορον.
τίς δαὶ κατόπτρου καὶ ξίφους κοινωνία;
σύ τ' αὐτός, ὦ παῖ, πότερον ὡς ἀνὴρ τρέφει;
καὶ ποῦ τὸ πέος; ποῦ χλαῖνα; ποῦ Λακωνικαί;
ἀλλ' ὡς γυνὴ δῆτ'· εἶτα ποῦ τὰ τιτθία;
τί φῄς; τί σιγᾷς; ἀλλὰ δῆτ' ἐκ τοῦ μέλους
ζητῶ σ', ἐπειδή γ' αὐτὸς οὐ βούλει φράσαι.
ΑΓΑ. ὦ πρέσβυ πρέσβυ, τοῦ φθόνου μὲν τὸν ψόγον
ἤκουσα, τὴν δ' ἄλγησιν οὐ παρεσχόμην·
ἐγὼ δὲ τὴν ἐσθῆθ' ἅμα γνώμῃ φορῶ.
χρὴ γὰρ ποιητὴν ἄνδρα πρὸς τὰ δράματα,
ἀεὶ ποιεῖ, πρὸς ταῦτα τοὺς τρόπους ἔχειν.
αὐτίκα γυναικεῖ' ἦν ποιῇ τις δράματα,
μετουσίαν δεῖ τῶν τρόπων τὸ σῶμ' ἔχειν.
ΚΗΔ. οὐκοῦν κελητίζεις, ὅταν Φαίδραν ποιῇς;
ΑΓΑ. ἀνδρεῖα δ' ἦν ποιῇ τις, ἐν τῷ σώματι
ἔνεσθ' ὑπάρχον τοῦθ'· ἃ δ' οὐ κεκτήμεθα,
μίμησις ἤδη ταῦτα συνθηρεύεται.

ADNOTATIO CRITICA.

v. 141 *σύ τ' αὐτός* scholiasta: *γρ. σύ τ' αὐτός*. — v. 142 *καὶ ποῦ τὸ πέος* Suida duce Bothius. — v. 147 fortasse scribendum est: *παρέσχε μοι*. — v. 148 coniecerim: *ἐσθῆτ' ἀνὰ γνώμην*. — v. 150 *ἀεὶ ποιεῖ* Meinekius. — v. 154 *ἦν* Dindorfius.

SCRIPTURAE DISCREPANTIA.

v. 138 *κροκωτῷ*] *κρο κωτῷ* deleta est in spatio una littera (*τ* ut vid.) in *R* | *κεκρυφάλῳ*] corr. ex *καὶ κρυφάλῳ R* ‖ v. 141 *σύ τ'*] *τίς δ' RG* ‖ v. 142 *καὶ ποῦ τὸ πέος*] *καὶ ποῦ σπέος R καὶ ποῦ πέος G* ‖ v. 143 *τιτθία*] corr. ex *τιθία R* ‖ v. 144 *φῄς*] *φῆς G* ‖ v. 146 *ΑΓΑ.*] — *R* ἀγᾶ add. R^2 | *ψόγον*] corr. ex *ψόιγον* in *R* ‖ v. 148 *τὴν ἐσθῆθ' ἅμα γνώμῃ*] *τὴν ἐσθῆτ' ἅμα γνώμη RG* ‖ v. 149 *γὰρ*] om. *R* supra v. add. R^2 | *ποιητὴν*] *ποητὴν RG* ‖ v. 150 *ἀεὶ ποιεῖ*] *ἃ δεῖ ποεῖν· R ἃ δεῖ ποεῖν G* ‖ v. 151 *αὐτίκα*] *αὐτί R κα* supra versum add. R^2 | *γυναικεῖ' ἦν ποιῇ τις*] *γυναικειην ποῆ τίς R* corr. in *γυναικεῖ' ἦν ποῆ τίς* R^2 *γυναικεῖ' ἦν ποῆ τίς G* ‖ v. 153 *ΚΗΔ.*] — *RG* | *ὅταν*] *ὅτ' ἂν R* | *ποιῇς*] *ποῇς R ποῆς G* ‖ v. 154 *ΑΓΑ.*] omm. *RG* | *ἦν*] *ἂν RG* | *ποιῇ*] *ποῆ RG* | *τις*] *τίς RG* ‖ v. 155 *τοῦθ'. ἃ δ' οὐ*] *του αδου R* corr. in *τοῦθ' ἃ δ' οὐ* R^2 *τοῦθ' ἃ δ' οὐ G*

φανέντας ἐπιχαρῆναι.
ΧΟΡ. Ζεῦ μεγαλώνυμε χρυσολύρα τε,
Δῆλον ὃς ἔχεις ἱεράν,
καὶ σὺ παγκρατὲς κόρα γλαυ-
κῶπι χρυσόλογχε πόλιν οἰ-
κοῦσα περιμάχητον, ἐλθὲ δεῦρο.
καὶ πολυώνυμε θηροφόνη,
Λατοῦς χρυσώπιδος ἔρνος.
σύ τε πόντιε σεμνὲ Πόσειδον,
ἁλιμέδον, προλιπὼν
μυχὸν ἰχθυόεντ' οἰστροδόνητον,
Νηρέος εἰνάλιοί τε κόραι,
Νύμφαι τ' ὀρείπλαγκτοι.
χρυσέα τε φόρμιγξ
ἰαχήσειεν ἐπ' εὐχαῖς
ἡμετέραις· τελέως δ'
ἐκκλησιάσαιμεν Ἀθηνῶν

ADNOTATIO CRITICA.

v. 320 *θηροφόνη* Hermannus. — v. 324 pro *οἰστροδόνητον* coniecerim ab Aristophane scriptum fuisse *οἰδμαδόνητον*. Illud a glossatore quodam adscriptum esse videtur, qui recordatus erat Aeschyli Suppl. vv. 571 et 572. — v. 325 *εἰνάλιοί* Bruncknius. — v. 329 *Ἀθηνῶν* Reisigius.

SCRIPTURAE DISCREPANTIA.

v. 315 *XOP.*] omm. *RG* ‖ v. 316 *ὃς*] corr. ex *ὡς R* | *ἱεράν,*] *ἱεράν·* corr. ex *ἱερὰν· R* ‖ v. 317 *παγκρατὲς*] *παμκρατες R πάνκρατες G* | *κόρα*] *κόραι R* ‖ v. 318 *γλαυκῶπι*] *γλαυκόπι R* corr. in *γλαυκῶπι* R^2 ‖ v. 320 *θηροφόνη*] *θηροφόνε* (posterius o in ras. corr. ex ω, ut vid.) *παῖ* — (sic) *R θηροφόνε παῖ G* ‖ v. 321 *ἔρνος*] *ἔρνος G* ‖ v. 323 *ἁλιμέδον*] *αλιμέδον R* ‖ v. 324 *ἰχθυόεντ' οἰστροδόνητον,*] *ἰχθυόεντ' οἰστροδόνητον* (hoc corr. ex *οιστροδόνητον* R^2) *R ἰχθυόεν τὸ ἰστροδόνητον G* ‖ v. 325 *εἰνάλιοί*] *ἐναλίου RG* ‖ v. 327 *χρυσέα*] corr. ex *χρυσεὰ R* ‖ v. 328 *ἰαχήσειεν*] *ἰσχύσειεν G* | *ἐπ' εὐχαῖς*] *ἐπευχαῖς R* ‖ v. 329 *ἐκκλησιάσαιμεν*] *εκκλησιάσαι μὲν R ἐκκλησιάσαι μὲν G* | *Ἀθηνῶν*] *ἀθηναίων RG* ‖ Verba in vv. 312—330 ita distributa sunt, ut singuli versus finiantur vocibus: *γένος* | *εὐχαῖς* | *ἐπιχαρῆναι* | *τε* | *ἱεράν* | *κόρα* | *χρυσόλογχε* | *δεῦρο* | *παῖ-* | *ἔρνος* | *πόσειδον* | *προλιπὼν* | *οἰστροδόνητον* | *κόραι* | *ὀρείπλαγκτοι* | *εὐχαῖς* | *τελέως* | *ἀθηναίων* | *γυναῖκες RG*

ΑΓΑ. ἅπασ' ἀνάγκη· ταῦτα τοίνυν γνοὺς ἐγὼ
ἐμαυτὸν ἐθεράπευσα. ΚΗΔ. πῶς πρὸς τῶν θεῶν;
ΕΥΡ. παῦσαι βαῦζων· καὶ γὰρ ἐγὼ τοιοῦτος ἦν
ὢν τηλικοῦτος, ἡνίκ' ἠρχόμην ποιεῖν.
ΚΗΔ. μὰ τὸν Δί' οὐ ζηλῶ σε τῆς παιδεύσεως.
ΕΥΡ. ἀλλ' ὥνπερ εἵνεκ' ἦλθον, ἔα μ' εἰπεῖν. ΑΓΑ. λέγε.
ΕΥΡ. Ἀγάθων, σοφοῦ πρὸς ἀνδρός, ὅστις ἐν βραχεῖ
πολλοὺς καλῶς οἷός τε συντέμνειν λόγους.
ἐγὼ δὲ καινῇ ξυμφορᾷ πεπληγμένος
ἱκέτης ἀφῖγμαι πρὸς σέ. ΑΓΑ. τοῦ χρείαν ἔχων;
ΕΥΡ. μέλλουσί μ' αἱ γυναῖκες ἀπολεῖν τήμερον
τοῖς Θεσμοφορίοις, ὅτι κακῶς αὐτὰς λέγω.
ΑΓΑ. τίς οὖν παρ' ἡμῶν ἐστιν ὠφέλειά σοι;
ΕΥΡ. ἡ πᾶσ'· ἐὰν γὰρ ἐγκαθεζόμενος λάθρᾳ
ἐν ταῖς γυναιξίν, ὡς δοκῶν εἶναι γυνή,
ὑπεραποκρίνῃ μου, σαφῶς σώσεις ἐμέ.
μόνος γὰρ ἂν λέξειας ἀξίως ἐμοῦ.
ΑΓΑ. ἔπειτα πῶς οὐκ αὐτὸς ἀπολογεῖ παρών;

ADNOTATIO CRITICA.

v. 171 *τοίνυν* Blaydesius. — post v. 172 versum excidisse puto, quo convicia iacta sint in muliebrem Agathonis et formam et habitum, in hunc fere modum, ut aliquid exempli causa proferam, comparatum: *ΚΗΔ. πῶς πρὸς τῶν θεῶν | ἔτλης ἑταίραν, ὢν ἀνήρ, σαυτὸν ποιεῖν*; — v. 178 *οἷός τε* Suidas. — v. 179 *καινῇ* Bisetus et alter scholiasta.

SCRIPTURAE DISCREPANTIA.

v. 171 *ΑΓΑ.*] omm. *RG* | *ἅπασ'*] *ἅπασ· R ἅπασ* corr. ex *ἅπασ' G* | *τοίνυν*] *γάρ τοι RG* | *γνοὺς*] *γνοῦς RG* ‖ v. 172 *ΚΗΔ.*] : *R* om. spatio relicto *G* ‖ v. 173 *ΕΥΡ.*] erasa est nota pers. in *R* — *G* ‖ v. 174 *ὢν*] *ὤν R* | *ἡνίκ'*] *ἡνίκ R ἡνικ' G* | *ποιεῖν*] *ποεῖν RG* ‖ v. 175 *ΚΗΔ.*] — *RG* ‖ v. 176 *ΕΥΡ.*] omm. *RG* | *εἵνεκ'*] *οὕνεκ' RG* | *ΑΓΑ.*] : *R* — *G* ‖ v. 177 *ΕΥΡ.*] — *RG* ‖ v. 178 *οἷός τε*] *οἷόν τε· R οἷόν τε G* ‖ v. 179 *καινῇ*] *κοινῇ R κοινῇ G* | *ξυμφορᾷ*] *συμφορᾶ G* ‖ v. 180 *ἀφῖγμαι*] *ἀφίγμαι RG* | *ΑΓΑ.*] : *R* — *G* ‖ v. 181 *ΕΥΡ.*] — *RG* ‖ v. 182 *αὐτάς*] bis exaratum erat, sed prius deletum est lineola traducta *G* ‖ v. 183 *ΑΓΑ.*] — *RG* | *ἐστιν*] *εστιν R ἐστὶν G* ‖ v. 184 *ΕΥΡ.*] — *RG* | *πᾶσ'*] *πᾶσα RG* | *λάθρᾳ*] *λάθρα G* ‖ v. 185 *δοκῶν εἶναι*] *δοκῶν εἶ εἶναι* sed deletum lineola traducta *εἶ G* ‖ v. 186 *ὑπεραποκρίνῃ*] *ὑπερ ἀποκρίνῃ R* ‖ v. 188 *ΑΓΑ.*] om. *R* — *G* | *οὐκ*] *οὐκ' R* | *παρών;*] *παρών·* corr. ex *παρὼν· R*

ΕΥΡ. ἐγὼ φράσω σοι. πρῶτα μὲν γιγνώσκομαι·
ἔπειτα πολιός εἰμι καὶ πώγων' ἔχω,
σὺ δ' εὐπρόσωπος, λευκός, ἐξυρημένος,
γυναικόφωνος, ἁπαλός, εὐπρεπὴς ἰδεῖν.
ΑΓΑ. Εὐριπίδη, ΕΥΡ. τί ἔστιν; ΑΓΑ. ἐποίησάς ποτε,
χαίρεις ὁρῶν φῶς, πατέρα δ' οὐ χαίρειν δοκεῖς;
ΕΥΡ. ἔγωγε. ΑΓΑ. μή νυν ἐλπίσῃς τὸ σὸν κακὸν
ἡμᾶς ὑφέξειν. καὶ γὰρ ἂν μαινοίμεθ' ἄν.
ἀλλ' αὐτὸς ὅ γε σόν ἐστιν οἰκείως φέρε.
τὰς συμφορὰς γὰρ οὐχὶ τοῖς τεχνάσμασιν
φέρειν δίκαιον, ἀλλὰ τοῖς παθήμασιν.
ΚΗΔ. καὶ μὴν σύ γ', ὦ καταπύγον, εὐρύπρωκτος εἶ
οὐ τοῖς λόγοισιν, ἀλλὰ τοῖς παθήμασιν.
ΕΥΡ. τί δ' ἔστιν ὅτι δέδοικας ἐλθεῖν αὐτόσε;
ΑΓΑ. κάκιον ἀπολοίμην ἂν ἢ σύ. ΕΥΡ. πῶς; ΑΓΑ. ὅπως;
δοκῶν γυναικῶν ἔργα νυκτερείσια
κλέπτειν ὑφαρπάζειν τε θήλειαν Κύπριν.

ADNOTATIO CRITICA.

v. 196 *καὶ γὰρ ἂν μαινοίμεθ' ἄν*. Suidas. — v. 198 scripserim *τεχνήμασιν*.

SCRIPTURAE DISCREPANTIA.

v. 189 *ΕΥΡ.*] — *RG* | *γιγνώσκομαι*] *γινώσκομαι RG* ‖ v. 190 *εἰμι*] corr. ex *εἰμὶ* in *R* *εἰμὶ G* ‖ v. 191 *λευκός*] *ευ λευκὸς* sed deletum lineola traducta *ευ G* ‖ v. 192 *ἁπαλός*] *ἀπαλός R* ‖ v. 193 *ΑΓΑ.*] — *RG* | *ΕΥΡ.*] : *R* — *G* | *ἔστιν*] *εστιν R ἐστιν G* | *ΑΓΑ.*] om. *R* — *G* ‖ v. 195 *ΕΥΡ.*] — *RG* | *ΑΓΑ.*] : *R* — *G* | *μή νυν*] *μὴ νῦν RG* | inter *ἐλπίσῃς* (sic) et *τὸ* rasura unius litterae est aut interpunctionis in *R* | *κακόν*] *κακόν·* corr. ex *κακὸν·* in *R* ‖ v. 196 *ἡμᾶς*] corr. ex *ὑμᾶς G* | *καὶ γὰρ ἂν μαινοίμεθ' ἄν.*] *καὶ γὰρ μαινοίμεθ' ἄν· R καὶ γὰρ μενοίμεθ' ἂν* inter *γὰρ* et *μενοίμεθ'* rasura est duarum fere litterarum *G* ‖ v. 197 *ἐστιν οἰκείως*] *εστιν οἰκεῖως R ἐστι μ' οἰκείως G* ‖ v. 198 *οὐχὶ*] *οὐχι R* | *τεχνάσμασιν*] *τεχνάμασιν G* ‖ v. 199 *παθήμασιν*] *παθήμασι G* ‖ v. 200 *ΚΗΔ.*] om. *R* *μνῆ* add. R^2 *μνῆ* est in *G* | *καταπῦγον*] *καταπύγον RG* ‖ v. 202 *ΕΥΡ.*] — *R* *εὖ* add. R^2 | *ἔστιν*] *εστιν R* | *ὅτι*] *ὅ,τι G* ‖ v. 203 *ΑΓΑ.*] — *R* *αγᾶ* add. R^2 | *ΕΥΡ.*] : *R* om. spatio rel. *G* | *ΑΓΑ.*] : *R* om. spatio rel. *G*

ΚΗΔ. *ἰδού γε κλέπτειν· νὴ Δία βινεῖσθαι μὲν οὖν.*
ἀτὰρ ἡ πρόφασίς γε νὴ Δί' εἰκότως ἔχει.
ΕΥΡ. *τί οὖν; ποιήσεις ταῦτα; ΑΓΑ.* *μὴ δόκει γε σύ.*
ΕΥΡ. *ὦ τρισκακοδαίμων, ὡς ἀπόλωλ'. ΚΗΔ.* *Εὐριπίδη,*
ὦ φίλτατ', ὦ κηδεστά, μὴ σαυτὸν προδῷς. 210
ΕΥΡ. *πῶς οὖν ποιήσω δῆτα; ΚΗΔ.* *τοῦτον μὲν μακρὰ*
κλάειν κέλευ', ἐμοὶ δ' ὅ τι βούλει χρῶ λαβών.
ΕΥΡ. *ἄγε νυν, ἐπειδὴ σαυτὸν ἐπιδίδως ἐμοί,*
ἀπόδυθι τουτὶ θοἰμάτιον. ΚΗΔ. *καὶ δὴ χαμαί.*
ἀτὰρ τί μέλλεις δρᾶν μ'; ΕΥΡ. *ἀποξυρεῖν ταδί,* 215
τὰ κάτω δ' ἀφεύειν. ΚΗΔ. *ἀλλὰ πρᾶττ', εἴ σοι δοκεῖ·*
ἢ μὴ 'πιδοῦναι 'μαυτὸν ὤφελόν ποτε.
ΕΥΡ. *Ἀγάθων, σὺ μέντοι ξυροφορεῖς ἑκάστοτε,*
χρῆσόν τί νυν. ἡμῖν ξυρόν. ΑΓΑ. *αὐτὸς λάμβανε*
ἐντεῦθεν ἐκ τῆς ξυροδόκης. ΕΥΡ. *γενναῖος εἶ·* 220

ADNOTATIO CRITICA.

vv. 206—208 personas disposuit Brunckius. — v. 209 *ΚΗΔ. Εὐριπίδη*, Elmsleius. — v. 212 *κλάειν* Dindorfius. — v. 216 *εἴ σοι* Euphrosynus Boninus in Iuntina. — v. 217 *'πιδοῦναι* Dawesius. — *'μαυτὸν* Scaliger. — v. 219 *νυν* Meinekius. — fortasse pro *αὐτὸς* scribendum est: *σὺ*. — v. 220 *ξυροδόκης* scholiasta.

SCRIPTURAE DISCREPANTIA.

v. 206 *ΚΗΔ.*] omm. *RG* ‖ v. 207 *Δί'*] *δι' R* ‖ v. 208 *ΕΥΡ.*] omm. *RG* | *τί οὖν; ποιήσεις*] *τί οὖν ποήσεις RG* | *ΑΓΑ.*] : *R* — *G* ‖ v. 209 *ΕΥΡ.*] — *RG* | *τρισκακοδαίμων*] *τρισκακοδαίμον R* | *ΚΗΔ.*] omm. *RG* | *Εὐριπίδη*] *εὐριπίδης RG* ‖ v. 210 *ὦ φίλτατ'*] — *ὦ̃ φίλτατ' R μνῆ ὦ φίλτατ'* corr. R^2 *μνῆ*. *ὦ φίλτατ' G* | *σαυτὸν*] *σαυτῶ σαυτὸν* sed deletum lin. traducta *σαυτῶ G* ‖ v. 211 *ΕΥΡ.*] erasa est nota pers. in *R* | *ποιήσω*] *ποήσω RG* | *ΚΗΔ.*] : *R* : *G* | *τοῦτον*] minio corr. ex. *τοῦτο G* ‖ v. 212 *κλάειν*] *κλαίειν RG* | *δ' ὅ τι*] *δ' ὥτι δ' ὅτι* sed deletum lin. trad. *δ' ὥτι G* ‖ v. 213 *ΕΥΡ.*] — *RG* | *νυν*] *νῦν RG* ‖ v. 214 *θοἰμάτιον*] *θοιμάτιον R θοιμάτιον* corr. ex *θοἰμάτιον* (sic) *G* | *ΚΗΔ.*] : *R* — *G* ‖ v. 215 *μ'*] *με RG* | *ΕΥΡ.*] : *R* — *G* | *ταδί,*] *τὰ δί· R ταδὶ G* ‖ v. 216 *τὰ*] — *τὰ RG* | *δ' ἀφεύειν*] *δ' αφεύειν R δᾶ φεύειν G* | *ΚΗΔ.*] omm. *RG* | *πρᾶττ', εἴ σοι*] *πράττ' είσω R πραττείσω G* ‖ v. 217 *ἢ*] — *ἢ RG* | *'πιδοῦναι 'μαυτὸν*] *διδόναι γ' αυτὸν R διδόναι γ' αὐτὸν G* ‖ v. 218 *ΕΥΡ.*] — *RG* | *σὺ*] — *σὺ G* | *μέντοι*] *μὲν δὴ G* ‖ v. 219 *νυν*] *νῦν RG* | *ΑΓΑ.*] : *R* — *G* ‖ v. 220 *ξυροδόκης*] *ξυροδίκης RG* | *ΕΥΡ.*] : *R* — *G* | *εἶ*] *εἰ R*

κάθιζε· φύσα τὴν γνάθον τὴν δεξιάν.
ΚΗΔ. οἴμοι. *ΕΥΡ.* *τί κέκραγας; ἐμβαλῶ σοι πάτταλον,*
ἢν μὴ σιωπᾷς. *ΚΗΔ.* *ἀτταταῖ ἰατταταῖ.*
ΕΥΡ. *οὗτος σὺ ποῖ θεῖς;* *ΚΗΔ.* *εἰς τὸ τῶν σεμνῶν θεῶν·*
οὐ γὰρ μὰ τὴν Δήμητρ' ἔτ' ἐνταυθὶ μενῶ
τεμνόμενος. *ΕΥΡ.* *οὔκουν καταγέλαστος δῆτ' ἔσει*
τὴν ἡμίκραιραν τὴν ἑτέραν ψιλὴν ἔχων;
ΚΗΔ. *ὀλίγον μέλει μοι.* *ΕΥΡ.* *μηδαμῶς, πρὸς τῶν θεῶν,*
προδῷς με. χώρει δεῦρο. *ΚΗΔ.* *κακοδαίμων ἐγώ.*
ΕΥΡ. *ἔχ' ἀτρέμας αὐτοῦ κἀνάκυπτε. ποῖ στρέφει;*
ΚΗΔ. *μυμῦ.* *ΕΥΡ.* *τί μύζεις; πάντα πεποίηται καλῶς.*
ΚΗΔ. οἴμοι *κακοδαίμων, ψιλὸς οὖν στρατεύσομαι.*
ΕΥΡ. *μὴ φροντίσῃς· ὡς εὐπρεπὴς φανεῖ πάνυ.*
βούλει θεᾶσθαι σαυτόν; *ΚΗΔ.* *εἰ δοκεῖ, φέρε.*
ΕΥΡ. *ὁρᾷς σεαυτόν;* *ΚΗΔ.* *οὐ μὰ Δί', ἀλλὰ Κλεισθένη.*

ADNOTATIO CRITICA.

v. 222 *οἴμοι* Dindorfius. — v. 223 *ἀτταταῖ ἰατταταῖ* Bentleius. — v. 225 *Δήμητρ' ἔτ'* Porsonus. — *ἐνταυθὶ* Elmsleius. — v. 230 *ἀτρέμας αὐτοῦ* Dobraeus. — v. 231 *μυμῦ* Dindorfius. — v. 232 *οὖν* e coniectura scripsi. — v. 234 *θεᾶσθαι σαυτόν* Porsonus. — v. 235 *Κλεισθένη* Dindorfius.

SCRIPTURAE DISCREPANTIA.

v. 222 *ΚΗΔ.*] — *RG* | *οἴμοι*] *ὤιμοι R ᾤμοι G* | *ΕΥΡ.*] om. *R* — *G* | *ἐμβαλῶ*] : *ἐμβαλῶ R* | *σοι*] *σοὶ G* ‖ v. 223 *ἢν*] *ἦν R* | *ΚΗΔ.*] : *R* — *G* | *ἀτταταῖ ἰατταταῖ.*] *ἀττατα· αττατατ· R ἀττατὰ ἀτταταὶ G* ‖ v. 224 *ΕΥΡ.*] — *RG* | *ΚΗΔ.*] om. *R* — *G* ‖ v. 225 *οὐ*] — *οὐ R* | *Δήμητρ' ἔτ' ἐνταυθὶ*] *δήμητρα γ' ενταυθοῖ R δήμητρα γ' ἐνταυθοῖ G* ‖ v. 226 *ΕΥΡ.*] : *R* — *G* | *οὔκουν*] *οὐκ' οὖν R οὐκοῦν G* | *καταγέλαστος*] — *καταγέλαστος G* ‖ v. 228 *ΚΗΔ.*] — *RG* | *ΕΥΡ.*] : *R* — *G* | *μηδαμῶς*] *μὴδαμῶς R* ‖ v. 229 *χώρει*] : *χώρει R* ante *χώρει* spatium trium fere litt. rel. in *G* | *ΚΗΔ.*] : *R* — *G* ‖ v. 230 *ΕΥΡ.*] — *RG* | *ἀτρέμας αὐτοῦ*] *ατρέμα σαυτὸν· R ἀτρέμα σαυτὸν G* | *κἀνάκυπτε*] *κ' ἀνάκυπτε R* ‖ v. 231 *ΚΗΔ.*] — *RG* | *μυμῦ*] *μῦ μῦ RG* | *ΕΥΡ.*] : *R* — *G* | *πάντα*] : *πάντα R* ‖ v. 232 *ΚΗΔ.*] — *RG* | *ψιλὸς*] : *ψιλὸς R* | *οὖν*] *αῦ R αὖ G* ‖ v. 233 *ΕΥΡ.*] — *RG* ‖ v. 234 *βούλει*] corr. ex — *βούλει R* | *θεᾶσθαι σαυτόν*] *θεάσασθαι σεαυτόν* corr. ex *θεάσασθαι σεαυτὸν R θεάσασθαι σεαυτὸν G* | *ΚΗΔ.*] om. *R* *μνῆ* *G* ‖ v. 235 *ΕΥΡ.*] — *RG* | *ὁρᾷς σεαυτόν*] *ὁρᾶισ σεαυτὸν* corr. ex *ὁρᾶι σεαυτὸν R ὁρᾷς σεαυτὸν G* | *ΚΗΔ.*] : *R* — *G* | *Κλεισθένη*] *κλεισθέννην RG*

ΕΥΡ. ἀνίστασ', ἵν' ἀφεύσω σε, κἀγκύψας ἔχε.
ΚΗΔ. οἴμοι κακοδαίμων, δελφάκιον γενήσομαι.
ΕΥΡ. ἐνεγκάτω τις ἔνδοθεν δᾷδ' ἢ λύχνον.
ἐπίκυπτε· τὴν κέρκον φυλάττου νυν ἄκραν.
ΚΗΔ. ἐμοὶ μελήσει νὴ Δία, πλήν γ' ὅτι κάομαι.
οἴμοι τάλας. ὕδωρ ὕδωρ, ὦ γείτονες.
[πρὶν ἀντιλαβέσθαι πρωκτὸν τῆς φλογός.]
ΕΥΡ. θάρρει. ΚΗΔ. τί θαρρῶ καταπεπυρπολημένος;
ΕΥΡ. ἀλλ' οὐκέτ' οὐδὲν πρᾶγμά σοι· τὰ πλεῖστα γὰρ
ἀποπεπόνηκας. ΚΗΔ. φῦ, ἰοὺ τῆς ἀσβόλου.
αἰθὸς γεγένημαι πάντα τὰ περὶ τὴν τράμιν.
ΕΥΡ. μὴ φροντίσῃς· ἕτερος γὰρ αὐτὰ σφογγιεῖ.
ΚΗΔ. οἰμώξετἄρ' εἴ τις τὸν ἐμὸν πρωκτὸν πλυνεῖ.
ΕΥΡ. Ἀγάθων, ἐπειδὴ σαυτὸν ἐπιδοῦναι φθονεῖς,
ἀλλ' ἱμάτιον γοῦν χρῆσον ἡμῖν τουτῳὶ
καὶ στρόφιον· οὐ γὰρ ταῦτά γ' ὡς οὐκ ἔστ' ἐρεῖς.
ΑΓΑ. λαμβάνετε καὶ χρῆσθ'· οὐ φθονῶ. ΚΗΔ. τί οὖν
λάβω;

ADNOTATIO CRITICA.

v. 239 *νυν* Dindorfius. — fortasse *φύλαττε* (pro *φυλάττου*) scribendum est. — v. 242 olim conieceram scribendum esse: *πρὶν ἀντιλαβέσθαι τῶν περὶ πρωκτὸν τὴν φλόγα*, sed iam assentior Cobeto versum spurium esse. — v. 245 *φῦ* Dindorfius. — v. 246 *γεγένημαι* Eustathius. — v. 247 *σφογγιεῖ* Elmsleius. — v. 248 *οἰμώξετἄρ'* Dindorfius. — *εἴ τις* Porsonus.

SCRIPTURAE DISCREPANTIA.

v. 236 *ΕΥΡ.*] — *RG* | *ἀνίστασ'*] *ἀνίστασ G* | *ἵν' ἀφεύσω*] *ἵν' αφεύσω R ἵνα φεύσω G* ‖ v. 237 *ΚΗΔ.*] — *RG* ‖ v. 238 *ΕΥΡ.*] — *RG* | *τις*] *τίς RG* | *δᾷδ'*] *δᾶδα G* ‖ v. 239 *νυν*] *νῦν RG* ‖ v. 240 *ΚΗΔ.*] — *RG* ‖ v. 242 *ἀντιλαβέσθαι*] *ἀντιλαβέσθαι· R* ‖ v. 243 *ΕΥΡ.*] — *RG* | *ΚΗΔ.*] om. *R* (aut latet: in *μήν*, quod appinxit Euphrosynus Boninus; pariter res se habet in versu 234) — *G* ‖ v. 244 *ΕΥΡ.*] — *G* | *οὐκέτ'*] *οὐκ ἔτ' G* | *τὰ*] *τὰ R* ‖ v. 245 *ΚΗΔ.*] : *R* — *G* | *φῦ*] *φεῦ RG* | *ἰοὺ*] corr. ex *ἰοῦ* R^2 ‖ v. 246 *αἰθὸς*] *αἰθὸς RG* | *γεγένημαι*] *γεγέννημαι RG* | *πάντα τὰ*] *πάντα G* ‖ v. 247 *ΕΥΡ.*] — *RG* | *σφογγιεῖ*] *σπογγιεῖ RG* ‖ v. 248 *ΚΗΔ.*] — *RG* | *οἰμώξετἄρ' εἴ τις*] *οἰμώζετ' ἄρ' εἰσ RG* ‖ v. 249 *ΕΥΡ.*] — *R* *εὖ* add. R^2 ‖ v. 250 *ἱμάτιον γοῦν*] *ἱμάτιόν γ' οὖν R* | *τουτῳὶ*] *τουτωὶ R τουτοῖ G* ‖ v. 251 *οὐκ ἔστ'*] *οὐκέστ' R οὐκ ἐστ' G* ‖ v. 252 *ΑΓΑ.*] — *RG* | *ΚΗΔ.*] : *R* — *G*

ἐδίδαξε θριπήδεστ' ἔχειν σφραγίδια
ἐξαψαμένους. νῦν οὖν ἐμοὶ τούτῳ δοκεῖ
ὅλεθρόν τιν' ἡμᾶς κυρκανᾶν ἀμωσγέπως,
ἢ φαρμάκοισιν, ἢ μιᾷ γέ τῳ τέχνῃ,
ὅπως ἀπολεῖται. ταῦτ' ἔχω φανερῶς λέγειν·
τὰ δ' ἄλλα μετὰ τῆς γραμματέως συγγράψομαι.
HMIX. α. οὔπω ταύτης ἤκουσα
πολυπλοκωτέρας γυναικὸς
οὐδὲ δεινότερα λεγούσης.
πάντα γὰρ λέγει δίκαια,
φρενὶ δὲ πᾶν ἐξήτασ' εἶδος,
πᾶν τ' ἐβάστασεν πυκνῶς τε
ποικίλους λόγους ἀνηῦρεν
εὖ διεζητημένους.
ὥστ' ἂν εἰ λέγοι μετ' αὐτὴν
434—442 = 520—530

ADNOTATIO CRITICA.

v. 430 μιᾷ Berglerus. — v. 431 ταῦτ' ἔχω φανερῶς λέγειν e coniectura scripsi. — v. 434 οὔπω Hermannus. — v. 436 δεινότερα Hermannus. Sed nescio, an soloecum sit: δεινότερά τις λέγει pro δεινότερα τίς ἐστι λέγειν, ut statuendum sit altius latere corruptelam. Fortasse οὐδὲ δεινότερον λεγούσης verba interpreti debentur, quae loco pepulerunt haec fere: οὐδ' ἃ δεῖ μᾶλλον λεγούσης. — vv. 437 b et 438 versus foede corruptos partim ex Engeri (438), partim ex mea coniectura refingere conatus sum. — v. 440 μετ' αὐτήν Bachmannus.

SCRIPTURAE DISCREPANTIA.

v. 427 ἐδίδαξε] ἐδίδαξεν *RG* | θριπήδεστ'] θριπήδεστα· *R* θριπήδεστα *G* ‖ v. 428 τούτῳ] τούτω corr. ex τοῦτο *R* τούτω *G* ‖ v. 430 μιᾷ γέ τῳ] μίᾳ γέ τω *R* μίᾳ γε τω *G* ‖ v. 431 ἔχω φανερῶς λέγειν] ἐγὼ φανερῶς λέγω *RG* ‖ v. 434 *HMIX. α.*] om. *R* χ add. R^2 χορ est in *G* | οὔπω] οὔπω τε *R* corr. in οὐπώποτε R^2 οὐπώποτε *G* ‖ v. 436 δεινότερα] δεινότερον *RG* ‖ Verba in vv. 434—443 ita distributa sunt, ut singuli versus finiantur vocibus: ταύτης | πολυπλοκωτέρας | λεγούσης | εἰδέας | φρενί | λόγους | διεζητημένους | καρκίνου | αὐτόν | λέγειν *RG* ‖ v. 437 b sic in codd. legitur: πάσας δ' εἰδέας (εἰδέας *R*) ἐξήτασεν (ἐξήτασεν· *R*) ‖ v. 438 a sic: πάντα δ' ἐβάστασεν (ἐβάστασεν *R*) φρενὶ πυκνῶς τε ‖ v. 438 b ἀνηῦρεν] ἀνεῦρεν *RG* ‖ v. 439 διεζητημένους] corr. ex διέζητημένους *R* ‖ v. 440 μετ' αὐτήν] παραυτῆς *R* παρ' αὐτῆς *G*

Ξενοκλέης ὁ Καρκίνου, δο-
κεῖν ἂν αὐτόν, ὡς ἐγῷμαι,
πᾶσιν ὑμῖν
ἄντικρυς μηδὲν λέγειν.
ΓΥ. Β. ὀλίγων ἕνεκα καὐτὴ παρῆλθον ῥημάτων.
τὰ μὲν γὰρ ἄλλ' αὕτη κατηγόρηκεν εὖ·
ἃ δ' ἐγὼ πέπονθα, ταῦτα λέξαι βούλομαι.
ἐμοὶ γὰρ ἀνὴρ ἀπέθανεν μὲν ἐν Κύπρῳ,
παιδάρια πέντε καταλιπών, ἀγὼ μόλις
στεφανηπλοκοῦσ' ἔβοσκον ἐν ταῖς μυρρίναις.
τέως μὲν οὖν ἀλλ' ἠμικάκως ἐβοσκόμην·
νῦν δ' οὗτος ἐν ταῖσιν τραγῳδίαις ποιῶν
τοὺς ἄνδρας ἀναπέπεικεν οὐκ εἶναι θεούς·
ὥστ' οὐκέτ' ἐμπολῶμεν οὐδ' εἰς ἥμισυ.
νῦν οὖν ἁπάσαισιν παραινῶ καὶ λέγω
τοῦτον κολάσαι τὸν ἄνδρα πολλῶν εἵνεκα·
ἄγρια γὰρ ἡμᾶς, ὦ γυναῖκες, δρᾷ κακά,
ἄτ' ἐν ἀγρίοισι τοῖς λαχάνοις αὐτὸς τραφείς.
ἀλλ' εἰς ἀγορὰν ἄπειμι· δεῖ γὰρ ἀνδράσιν
πλέξαι στεφάνους συνθηματιαίους εἴκοσιν.

ADNOTATIO CRITICA.

v. 441 Ξενοκλέης Bentleius. — v. 443 ἕνεκα καὐτὴ Porsonus. — v. 446 iniuria μὲν offensioni editori cuidam erat, ἀνακολούθως enim loquitur mulier, cui obversabatur, ut pergeret: ἔβοσκον δὲ μόλις ἐγὼ αὐτά. — v. 450 ταῖσιν Brunckius. — v. 453 ἁπάσαισιν Brunckius. — v. 456 τοῖς ex Plutarcho et Gellio adiecit Bentleius.

SCRIPTURAE DISCREPANTIA.

v. 441 Ξενοκλέης] ξενοκλῆς *RG* | ἐγῷμαι] ἐγῶμαι *R* ἐγ' ὦμαι *G* ‖ v. 442 μηδὲν] μηὸὲν *R* ‖ v. 443 ΓΥ. Β.] — *R* ἑτέρα γῦ *G* | ὀλίγων] ὀλίγον *RG* | ἕνεκα καὐτὴ] ἕνεκ' αὐτῆ *RG* ‖ v. 444 ἄλλ'] ἄλλα· *R* ‖ v. 445 ἃ δ'] ἀδ' *RG* ‖ v. 446 ἀνὴρ] ἀνὴρ *RG* | ἀπέθανεν] ἀπέθανε *G* ‖ v. 447 ἀγὼ] ἀ'γὼ *R* ἐγὼ *G* ‖ v. 449 τέως] corr. ex τεὼς *R* | οὖν] in textu omissum in margine adiecit *G* ‖ v. 450 ταῖσιν] ταῖσι *RG* | ποιῶν] ποῶν *RG* ‖ v. 451 οὐκ] οὐκ' *R* ‖ v. 452 οὐκέτ'] οὐκ ἔτ' *G* | εἰς ἥμισυ] εἰσήμισυ *R* ‖ v. 453 ἁπάσαισιν] ἀπάσαισι *RG* ‖ v. 454 εἵνεκα] οὕνεκα *RG* ‖ v. 456 τοῖς λαχάνοις] λαχάνοις *RG* | αὐτὸς τραφείς.] αὐτοστραφεὶς *R* αὐτὸς τραφεὶς *G* ‖ v. 458 συνθηματιαίους] σὺνθηματιαίους in rasura est σὺ, corr. ex ου, ut videtur, ab R^2

ΗΜΙΧ. α. ἕτερον αὖ τι λῆμα τοῦτο
κομψότερον ἔτ' ἢ τὸ πρότερον
ἀναπέφηνεν,
οἷα κἀστωμύλατο.
ΚΟΡ. οὐκ ἄκαιρα, φρένας ἔχουσα,
καί τι πολύπλοκον νόημα.
ΗΜΙΧ. β. οὐδ' ἀσύνετα, πιθανὰ πάντα.
δεῖ δὲ ταύτης τῆς ὕβρεως ἡ-
μῖν τὸν ἄνδρα
περιφανῶς δοῦναι δίκην.
ΚΗΔ. τὸ μέν, ὦ γυναῖκες, ὀξυθυμεῖσθαι σφόδρα
Εὐριπίδῃ, τοιαῦτ' ἀκουούσας κακά,
οὐ θαυμάσιόν ἐστ', οὐδ' ἐπιζεῖν τὴν χολήν.
καὐτὴ γὰρ ἔγωγ', οὕτως ὀναίμην τῶν τέκνων,
μισῶ τὸν ἄνδρ' ἐκεῖνον, εἰ μὴ μαίνομαι.
ὅμως δ' ἐν ἀλλήλαισι χρὴ δοῦναι λόγον·

459—462 = 464b—465

ADNOTATIO CRITICA.

v. 461 κἀστωμύλατο Dindorfius. — v. 462 ἄκαιρα Brunckius. — τι adiecit Dobraeus. — v. 463 ἀσύνετα, πιθανὰ Engerus. — v. 469 ὀναίμην Suidas. — v. 471 ἀλλήλαισι Brunckius.

SCRIPTURAE DISCREPANTIA.

Verba in vv. 459—466 ita distributa sunt, ut singuli versus finiantur vocibus: τοῦτο | ἀναπέφηνεν | κατεστωμύλατο | ἔχουσα | ἀλλὰ | ταύτης | δίκην *RG* ‖ v. 459 *ΗΜΙΧ.* α.] om. *R* $\overset{\rho}{\chi}$ add. R^2 $\chi o\overset{o}{\rho}$ est in *G* | αὖ τι] αὖ τί *R* αὐτὶ *G* ‖ v. 460 κομψότερον] κόμψότερον *R* ‖ v. 461 κἀστωμύλατο] κατεστωμύλατο *RG* ‖ v. 462 *ΚΟΡ.*] omm. *RG* | οὐκ] οὐκ' *R* | ἄκαιρα] ἄκερα *RG* ‖ v. 463 καί τι] καὶ *RG* | νόημα] νόημ' *G* ‖ v. 464b *ΗΜΙΧ.* β.] omm. *RG* | οὐδ ἀσύνετα, πιθανὰ] οὐδ' (οὐδ *R*) ἀσύνετ' ἀλλὰ πιθανὰ *RG* ‖ v. 464c ὕβρεως] ὕβρεω *G* ‖ v. 466 *ΚΗΔ.*] erasa est nota personae in *R* $\overset{\delta}{\kappa}\overset{\rho\iota\pi}{\eta}$ εὐ est in *G* ‖ v. 467 ἀκουούσας] ἀκουούσαις *RG* ‖ v. 468 θαυμάσιόν ἐστ'] θαυμάσιον ἔστ' *R* θαυμάσιον ἐστ' *G* | ἐπιζεῖν] επιζεῖν in ras. corr. R^2 ex επιζῆν, ut videtur ‖ v. 469 καὐτὴ] κ' αὐτὴ *R* | ἔγωγ'] ἐγώγ' *G* | ὀναίμην] ὀνοίμην *R* ὠνοίμην *G* ‖ v. 471 ἀλλήλαισι] ἀλλήλοισι *R* ἀλλήλοισιν *G*

αὐταὶ γάρ ἐσμεν, κοὐδεμί' ἔκφορος λόγου.
τί ταῦτ' ἔχουσαι 'κεῖνον αἰτιώμεθα
βαρέως τε φέρομεν, εἰ δύ' ἡμῶν ἢ τρία
κακὰ ξυνειδὼς εἶπε δρώσας μυρία;
ἐγὼ γὰρ αὐτὴ πρῶτον, ἵνα μὴ ἄλλην λέγω,
ξύνοιδ' ἐμαυτῇ πολλὰ δείν'· ἐκεῖνο δ' οὖν
δεινότατον, ὅτε νύμφη μὲν ἦν τρεῖς ἡμέρας,
ὁ δ' ἀνὴρ παρ' ἐμοὶ καθηῦδεν· ἦν δέ μοι φίλος,
ὅσπερ με διεκόρησεν οὖσαν ἑπτέτιν.
οὗτος πόθῳ μου 'κυνεν ἐλθὼν τὴν θύραν·
κἀγὼ εὐθὺς ἔγνων· εἶτα καταβαίνω λάθρᾳ.
ὁ δ' ἀνὴρ ἐρωτᾷ, ποῖ σὺ καταβαίνεις; ὅποι;
στρόφος μ' ἔχει τὴν γαστέρ', ὦνερ, κωδύνη·
εἰς τὸν κοπρῶν' οὖν ἔρχομαι. βάδιζέ νυν·
κᾆθ' ὁ μὲν ἔτριβεν κεδρίδας, ἄννηθον, σφάκον·
ἐγὼ δὲ καταχέασα τοῦ στροφέως ὕδωρ
ἐξῆλθον ὡς τὸν μοιχόν· εἶτ' ἐρείδομαι
παρὰ τὸν 'Αγυιᾶ, κῦβδ' ἐχομένη τῆς δάφνης.
ταῦτ' οὐδεπώποτ' εἶφ', ὁρᾶτ', Εὐριπίδης·
οὐδ' ὡς ὑπὸ τῶν δούλων τε κἀρεωκόμων

ADNOTATIO CRITICA.

v. 473 *'κεῖνον* Meinekius. — v. 477 *πολλὰ δείν'* Dawesius. — v. 479 *καθηῦδεν* Scaliger. — v. 480 *διεκόρησεν* Pollux. — *οὖσαν ἑπτέτιν* Pollux. — v. 482 *κἀγὼ* Meinekius. — v. 486 *ἄννηθον* Dindorfius. — v. 488 *ἐρείδομαι* Fritzschius. — v. 489 *κῦβδ'* Meinekius.

SCRIPTURAE DISCREPANTIA.

v. 472 *ἐσμεν*] *εσμὲν R ἐσμὲν G* | *κοὐδεμί'*] *κ' οὐδεμί' R* | *ἔκφορος*] *ἐκφορος R* ‖ v. 473 *τί*] *τι G* | *'κεῖνον*] *κεῖνον RG* ‖ v. 474 *εἰ*] *ἢ RG* ‖ v. 475 *δρώσας*] corr. ex *δρῶσας* R^2 ‖ v. 477 *ξύνοιδ'*] corr. ex *ξυνοῖδ' R^2* | *πολλὰ δείν'*] *πολλ' RG* ‖ v. 479 *καθηῦδεν*] *καθεύδειν RG* ‖ v. 480 *ὅσπερ*] *ὅς περ G* | *διεκόρησεν*] *διεκόρευσεν RG* | *οὖσαν ἑπτέτιν*] *ἑπτέτιν οὖσαν RG* ‖ v. 481 *μου 'κυνεν*] *μ' οὔκυνεν RG* ‖ v. 482 *κἀγὼ εὐθὺς*] *κἄτ' εὐθὺς R κατευθὺς G* | *λάθρᾳ*] *λάθρα G* ‖ v. 483 *ὅποι;*] *ὅποι* (sic) *R* ‖ v. 484 *ὦνερ*] *ὦ 'νερ'* (ω corr. ex α) *R* | *κωδύνη*] *κ' ὠδύνη R* ‖ v. 485 *εἰς*] *ἐς RG* | *βάδιζέ νυν*] *βάδιζε νῦν RG* ‖ v. 486 *κᾆθ' ὁ*] *κἄθ' ὁ R καθ' ὃ G* | *ἄννηθον*] *ἄνηθον RG* ‖ v. 488 *ἐρείδομαι*] *ερειδόμην R ἐρειδόμην G* ‖ v. 489 *'Αγυιᾶ*] *ἀγυια R* | *κῦβδ'*] *κυνδ' R κύβδ' G*

σποδούμεθ', ἢν μὴ 'χωμεν ἕτερον, οὐ λέγει·
οὐδ' ὡς, ὅταν μάλισθ' ὅλην ληκώμεθα
τὴν νύχθ', ἕωθεν σκόροδα διαμασώμεθα,
ἵν' ὀσφρόμενος ἀνὴρ ἀπὸ τείχους εἰσιὼν
μηδὲν κακὸν δρᾶν ὑποτοπῆται. ταῦθ', ὁρᾷς,
οὐπώποτ' εἶπεν. εἰ δὲ Φαίδραν λοιδορεῖ,
ἡμῖν τί τοῦτ' ἔστ'; οὐδ' ἐκεῖν' εἴρηκέ πω,
ὡς ἡ γυνὴ δεικνῦσα τἀνδρὶ τοὔγκυκλον
οἷόν γ' ὑπ' αὐγάς ἐστιν, ἐγκεκαλυμμένον
τὸν μοιχὸν ἐξέπεμψεν, οὐκ εἴρηκέ πω.
ἑτέραν δ' ἐγῷδ' ἣ 'φασκεν ὠδίνειν γυνὴ
δέχ' ἡμέρας, ἕως ἐπρίατο παιδίον·
ὁ δ' ἀνὴρ περιέτρεχ' ὠκυτόκι' ὠνούμενος·
τὸ δ' εἰσέφερε γραῦς ἐν χύτρᾳ τὸ παιδίον,
ἵνα μὴ βοᾷη, κηρίῳ βεβυσμένον·
εἶθ' ὡς ἔνευσεν ἡ φέρουσ', εὐθὺς βοᾷ,

ADNOTATIO CRITICA.

v. 493 *ληκώμεθα* Suidas, ex quo etiam *ὅλην* illud depromptum est, quod pro *ὑπό του* codicum scripsi. — v. 494 *σκόροδα διαμασώμεθα* Bentleius. — v. 495 *ὀσφρόμενος ἀνὴρ ἀπὸ τείχους* Bentleius. — *ἀνὴρ* Elmsleius. — v. 500 *οἷόν γ' ὑπ' αὐγάς* Bachmannus. — v. 501 *μοιχὸν* Frobenius. — v. 502 *ἐγῷδ' ἣ 'φασκεν* Brunckius. — v. 504 *περιέτρεχ'* Hamakerus. — *ὠκυτόκι'* Pollux.

SCRIPTURAE DISCREPANTIA.

v. 492 *σποδούμεθ', ἢν μὴ 'χωμεν*] *σποδοῦμεθ' ἢν μήχωμεν* *R* *σποδοῦ μεθῆν μὴ χω μὲν* *G* ‖ vv. 493 et 94 sic in codd. scribuntur: *οὐδ' ὡς ὅτ' ἂν μάλισθ' ὑπό του κινώμεθα* (in ras. est *κιν* ab R^2) | *τὴν νύχθ' ἕωθεν* (*ἑωθεν* *R*) *σκορόδια μασώμεθα* *RG* ‖ v. 495 *ἵν'*] *ἦν* *R* corr. in *ἶν* R^2 | *ὀσφρόμενος*] *ὀσφραινόμενος* *RG* | *ἀνὴρ*] *ἀνὴρ* *RG* | *ἀπὸ τείχους*] *ἀπὸ τοῦ τείχους* *RG* | *εἰσιὼν*] corr. ex *εἰσιών* *R* ‖ v. 496 *μηδὲν*] *μὴδὲν* *R* ‖ v. 498 *ἔστ'*] *εστ'* *R* | *οὐδ' ἐκεῖν'*] *οὐδεκεῖν'* *R* | *εἴρηκέ πω*] *εἰρηκέτω* *G* ‖ v. 499 *δεικνῦσα*] *δεικνυσα* *R* | *τἀνδρὶ*] *τ' ἀνδρὶ* *RG* | *τοὔγκυκλον*] *τοὔ'γκυκλον* *R* ‖ v. 500 *οἷόν γ' ὑπ' αὐγάς ἐστιν*] *ὑπ' αὐγὰς οἷόν ἐστιν* (*οἷον εστὶν* *R*) *RG* ‖ v. 501 *μοιχὸν*] *μυχὸν·* *R* *μυχὸν* *G* ‖ v. 502 *ἐγῷδ' ἣ 'φασκεν*] *εγῷδ' ἡφασκεν* *R* *ἐγώ δ' ἥφασκεν* *G* | *ὠδίνειν*] ante *ὠδίνειν* erat *οὐκ*, sed deletum est *G* ‖ v. 504 *περιέτρεχ'*] *περὶἡρχετ'* *R* *περιήρχετ'* *G* | *ὠκυτόκι'*] *ὠκυτόκεια* *RG* ‖ v. 506 *μὴ*] *μή* *R* | *βοᾷη*] omisit lacuna relicta *R* supplevit R^2

ἄπελθ' ἄπελθ', ἤδη γὰρ ὦνέρ μοι δοκῶ
τέξειν. τὸ γὰρ ἧτρον τῆς χύτρας ἐλάκτισεν.
χὠ μὲν γεγηθὼς ἔτρεχεν, ἡ δ' ἐξέσπασεν
ἐκ τοῦ στόματος τὸ κηρίον, τὸ δ' ἀνέκραγεν.
εἶθ' ἡ μιαρὰ γραῦς, ἣ 'φερεν τὸ παιδίον,
θεῖ μειδιῶσα πρὸς τὸν ἄνδρα καὶ λέγει,
λέων λέων σοι γέγονεν, αὐτέκμαγμα σόν,
τά τ' ἄλλ' ἁπαξάπαντα καὶ τὸ πόσθιον
τῷ σῷ προσόμοιον, στρεβλὸν ὥσπερ κύτταρον.
ταῦτ' οὐ ποιοῦμεν τὰ κακά; νὴ τὴν Ἄρτεμιν,
ἡμεῖς γε. κᾆτ' Εὐριπίδῃ θυμούμεθα,
οὐδὲν παθοῦσαι μεῖζον ἢ δεδράκαμεν;
ΗΜΙΧ. β. τουτὶ μέντοι θαυμαστὸν
ὁπόθεν ηὑρέθη τὸ χρῆμα,
χἥτις ἐξέθρεψε χώρα
τήνδε τὴν θρασεῖαν οὕτω.
τάδε γὰρ εἰπεῖν τὴν πανοῦργον
κατὰ τὸ φανερὸν ὧδ' ἀναιδῶς
οὐκ ἂν ᾠόμην ἐν ὑμῖν

ADNOTATIO CRITICA.

v. 511 *τὸ κηρίον* Hirschigius. — v. 512 *'φερεν* Brunckius. — v. 514 *αὐτέκμαγμα* Reiskius. — v. 521 *ηὑρέθη* Meinekius.

SCRIPTURAE DISCREPANTIA.

v. 508 *ἄπελθ' ἄπελθ'*] *ἄπελθ' ἄπελθε R* | *ὦνέρ*] *ὦνερ G* ‖ v. 509 *ἧτρον*] *ητρόν R* corr. in *ἧτρον* R^2 ‖ v. 510 *χὠ*] *χ' ὡ RG* | *ἡ δ'*] *ἣ δ' R ἥ δ' G* ‖ v. 511 *τὸ κηρίον*] *τοῦ παιδίου RG* | *τὸ δ'*] *τό δ' RG* ‖ v. 512 *ἣ 'φερεν*] erat *εἰσέφερε*, σ erasit et *η* super *ει* scr. *R ἡ ἔφερε* corr. spiritus addens R^2 *ἡ ἔφερε G* ‖ v. 514 *αὐτέκμαγμα*] *αὖτ' ἔκμαγμα* corr. ex *αὖτ' ἔγμαγμα R αὖτ' ἐκμάγμα G* ‖ v. 515 *ἄλλ'*] *ἀλλ' R* | *ἁπαξάπαντα*] *ἅπαξ ἅπαντα R* ‖ v. 517 *κακά;*] *κακὰ RG* ‖ v. 518 *ἡμεῖς*] ex *ἡμεις* corr. R^2 | *κᾆτ' Εὐριπίδῃ*] *κατ' Εὐριπίδη R κατ' Εὐρῑπίδη G* ‖ v. 519 *ἣ*] *ἡ R* ‖ Verba in vv. 520—530 ita distributa sunt, ut singuli versus finiantur vocibus: *θαυμαστὸν* | *χρῆμα* | *χώρα* | *οὕτω* | *πανοῦργον* | *ἀναιδῶς* | *ἂν* | *ἤδη* | *ἐπαινῶ* | *γὰρ* | *ἀθρεῖν RG* ‖ v. 520 *ΗΜΙΧ. β.*] om. *R* $\overset{o}{\chi}$ add. R^2 *χορ. G* | *τουτὶ*] *τουτί G* ‖ v. 521 *ηὑρέθη*] *εὑρέθη RG* ‖ v. 522 *χἥτις*] *χ' ἥτις RG* | *ἐξέθρεψε*] *ἐξέτρεψε G* ‖ v. 523 *τήνδε*] *τῆνδε R* ‖ v. 525 *ὧδ'*] *ὦδ' G* ‖ v. 526 *οὐκ*] *οὐκ' R* | *ᾠόμην*] *οἰόμην R* corr. in *ὠόμην* R^2 *ὠόμην G*

οὐδὲ τολμῆσαί ποτ' ἄν.
ἀλλὰ πᾶν γένοιτ' ἂν ἤδη·
τὴν παροιμίαν δ' ἐπαινῶ
τὴν παλαιάν· ὑπὸ λίθῳ γὰρ
παντί που χρὴ
μὴ δάκῃ ῥήτωρ ἀθρεῖν.
ΚΟΡ. ἀλλ' οὐ γάρ ἐστι τῶν ἀναισχύντων φύσει γυναικῶν
οὐδὲν κάκιον εἰς ἅπαντα πλὴν ἄρ' εἰ γυναῖκες.
ΓΥ. Α. οὔ τοι μὰ τὴν Ἄγλαυρον, ὦ γυναῖκες, εὖ φρονεῖτε,
ἀλλ' ἢ πεφάρμαχθ' ἢ κακόν τι μέγα πεπόνθατ' ἄλλο,
ταύτην ἐῶσαι τὴν φθόρον τοιαῦτα περιυβρίζειν
ἡμᾶς ἁπάσας. εἰ μὲν οὖν τίσις τίς ἐστ' ἐν ἡμῖν,
αὐταί τε καὶ τὰ δουλάρια τέφραν ποθὲν λαβοῦσαι
ταύτης ἀποψιλώσομεν τὸν χοῖρον, ἵνα διδαχθῇ
γυνὴ γυναῖκας οὖσα μὴ κακῶς λέγειν τὸ λοιπόν.
ΚΗΔ. μὴ δῆτα τόν γε χοῖρον, ὦ γυναῖκες. εἰ γὰρ
οὔσης
παρρησίας κἀξὸν λέγειν ὅσαι πάρεσμεν ἀσταί,
εἶτ' εἶπον ἁγίγνωσκον ὑπὲρ Εὐριπίδου δίκαια,
διὰ τοῦτο τιλλομένην με δεῖ δοῦναι δίκην ὑφ' ὑμῶν;

ADNOTATIO CRITICA.

v. 528 *ἀλλὰ πᾶν* Cobetus. — v. 533 *Ἄγλαυρον* Brunckius. — v. 536 *τίσις τίς ἐστ' ἐν ἡμῖν* coniectando restitui. Bergkius in adnotatione: fort. *ἔστι τίσις*. — v. 537 *αὐταί τε* Reiskius. — v. 542 *ἁγίγνωσκον* Brunckius.

SCRIPTURAE DISCREPANTIA.

v. 527 *τολμῆσαί ποτ' ἄν.*] *τολμῆσαι πότ' ἀν· R τολμῆσαι ποτ' ἂν G* ‖ v. 528 *ἀλλὰ πᾶν*] *ἀλλ' ἅπαν RG* ‖ v. 529 *παλαιάν·*] corr. ex *παλαιὰν· R παλαιὰν* est in *G* | *ὑπὸ λίθῳ*] *ὑπο λίθω R ὑπὸ λίθω G* ‖ v. 530 *ῥήτωρ*] *ῥήτωρ' R* ‖ v. 531 *ΚΟΡ.*] omm. *RG* ‖ v. 532 *ἄρ'*] *ἆρ' G* | *εἰ*] *ἢ G* ‖ v. 533 *ΓΥ. Α.*] — *R γυνὴ τίς* add. *R*^{2} *γυνή τ G* | *Ἄγλαυρον*] *Ἄγραυλον RG* ‖ v. 534 *ἢ πεφάρμαχθ'*] *ἡ πεφάρμαχθ' R* | *πεπόνθατ'*] *πέπονθατ' R* ‖ v. 535 *περιυβρίζειν*] *περὶ ὑβρίζειν RG* ‖ v. 536 *τίσις τίς ἐστ' ἐν ἡμῖν,*] *τίς ἐστὶν εἰ δε μὴ ἡμεῖς R τίς ἐστὶν εἰ δὲ μὴ ἡμεῖς G* ‖ v. 537 *αὐταί*] *αὐτοί RG* | *τε*] *γε R γε* ex correctura *G* | *ποθὲν*] *πόθεν RG* ‖ v. 540 *ΚΗΔ.*] — *R κη* add. *R*^{2} *κὴ G* ‖ v. 541 *ἀσταί,*] *ἀσταὶ· R ἀσταὶ G* ‖ v. 542 *ἁγίγνωσκον*] *ἃ γίγνωσκον RG*

ΓΥ. Α. οὐ γάρ σε δεῖ δοῦναι δίκην; ἥτις μόνη τέτληκας
ὑπὲρ ἀνδρὸς ἀντειπεῖν, ὃς ἡμᾶς πολλὰ κακὰ δέ-
δρακεν
ἐπίτηδες εὑρίσκων λόγους, ὅπου γυνὴ πονηρὰ
ἐγένετο, Μελανίππας ποιῶν Φαίδρας τε· Πηνελό-
πην δὲ
οὐπώποτ' ἐποίησ', ὅτι γυνὴ σώφρων ἔδοξεν εἶναι.
ΚΗΔ. ἐγὼ γὰρ οἶδα ταῖτιον. μίαν γὰρ οὐκ ἂν εἴποις
τῶν νῦν γυναικῶν Πηνελόπην, Φαίδρας ἀπαξ-
απάσας.
ΓΥ. Α. ἀκούετ', ὦ γυναῖκες, οἷ' εἴρηκεν ἡ πανοῦργος
ἡμᾶς ἁπάσας αὖθις αὖ; ΚΗΔ. καὶ νὴ Δί' οὐδέπω γε
εἴρηχ' ὅσα ξύνοιδ'· ἐπεὶ βούλεσθε πλείον' εἴπω;
ΓΥ. Α. ἀλλ' οὐκ ἂν ἔτ' ἔχοις· ὅσα γὰρ ᾔδεις ἐξέχεας ἅπαντα.
ΚΗΔ. μὰ Δί' οὐδέπω τὴν μυριοστὴν μοῖραν ὧν ποι-
οῦμεν.
ἐπεὶ τάδ' οὐκ εἴρηχ', ὁρᾷς, ὡς στλεγγίδας λαβοῦσαι
ἔπειτα σιφωνίζομεν τὸν οἶνον. ΓΥ. Α. ἐπιτριβείης.

ADNOTATIO CRITICA.

v. 546 *ἐπίτηδες* Bentleius. — v. 548 *ἐποίησ'* Bentleius. — v. 552 post *αὖ*; interrogandi notam adieci. — v. 553 *πλείον'* Bentleius. — v. 555 *οὐδέπω* Dobraeus. — v. 556 *τάδ'* Dindorfius. — v. 557 *οἶνον* Pollux.

SCRIPTURAE DISCREPANTIA.

v. 544 *ΓΥ. Α.*] — *RG* | *τέτληκας*] *τέτληκας· R τέληκας* corr. ex *τέλεικας G* ‖ v. 545 *ὃς*] *ὡς RG* | *πολλὰ κακὰ*] corr. ex *πολλὰ κακα R*² corr. ex *κα πολλὰ κακὰ G* | *δέδρακεν*] *δέδρακας G* ‖ v. 546 *ἐπίτηδες*] *ἐξεπίτηδες RG* ‖ v. 548 *ἐποίησ'*,] *εποίησεν R ἐποίη-σεν, G* ‖ v. 549 *ΚΗΔ.*] — *RG* | *ταῖτιον*] *τ' αἴτιον RG* | *οὐκ*] *οὐκ' R* | *ἂν*] corr. ex *ἄρ R* ‖ v. 550 *Φαίδρας*] corr. ex *Φαίδρας δ' G* | *ἁπαξαπάσας*] *απαξ ἁπασ R* corr. in *απαξ ἁπάσας R*² | *απαξ ἁπάσας* vocabulum unum versum efficit in *R* ‖ v. 551 *ΓΥ. Α.*] om. *R — G* ‖ v. 552 *αὖ*;] : *αὖ R — αὖ G* | *ΚΗΔ.*] omm. *RG* | *νὴ Δί'*] *νὴ δι' R* ‖ v. 553 *πλείον'*] *πλεῖον RG* ‖ v. 554 *ΓΥ. Α.*] — *RG* | *οὐκ*] *οὐκ' R* | *ᾔδεις*] *ᾔδεις R* ‖ v. 555 *ΚΗΔ.*] — *RG* | *οὐδέπω*] *οὐδε R οὐδὲ G* ‖ v. 556 *ἐπεὶ τάδ' οὐκ*] *ἔπειτά γ' οὐχ' R ἔπειτα γ' οὐκ G* | *ὡς στλεγγίδας*] *ὡστλεγγίδας R* ‖ v. 557 *ἔπειτα*] *ἐπεὶ R* corr. in *ἔπειτα R*² *ἐπεὶ*^{τα} minio supra lineam adiecto *τα G* | *οἶνον*] *σῖτον RG* | *ΓΥ. Α.*] : *R — G*

ΚΗΔ. ὡς τ' αὖ τὰ κρέ' ἐξ *Ἀπατουρίων ταῖς μαστροποῖς διδοῦσαι,*
ἔπειτα τὴν γαλῆν φαμὲν ΓΥ. Α. τάλαιν' ἐγώ, φλυαρεῖς.
ΚΗΔ. οὐδ' ὡς γυνὴ τὸν ἄνδρα τῷ πελέκει κατεσπόδησεν,
οὐκ εἶπον· οὐδ' ὡς φαρμάκοις ἑτέρα τὸν ἄνδρ' ἔμηνεν,
οὐδ' ὡς ὑπὸ τῇ πυέλῳ κατώρυξέν ποτ' ΓΥ. Α. ἐξόλοιο.
ΚΗΔ. ἀχαρνικὴ τὸν πατέρα. *ΓΥ. Α. ταυτὶ δῆτ' ἀνέκτ' ἀκούειν;*
ΚΗΔ. οὐδ' ὡς σὺ τῆς δούλης τεκούσης ἄρρεν εἶτα σαυτῇ τοῦθ' ὑπεβάλου, τὸ σὸν δ' ἐκείνῃ θυγάτριον παρῆκας.
ΓΥ. Α. οὔ τοι μὰ τὼ θεὼ σὺ καταπροίξει λέγουσα ταυτί, ἀλλ' ἐκποκιῶ σου τὰς ποκάδας. *ΚΗΔ.* οὐ δῆτα μὰ Δία σύ γ' ἅψει.
ΓΥ. Α. καὶ μὴν ἰδού. *ΚΗΔ.* καὶ μὴν ἰδού. *ΓΥ. Α. λαβὲ θοἰμάτιον, Φιλίστη.*

ADNOTATIO CRITICA.

v. 558 *αὖ τὰ* Brunckius. — v. 560 *ὡς γυνὴ τὸν ἄνδρα τῷ πελέκει κατεσπόδησεν* Engerus. — v. 563 *ἀχαρνικὴ* Dobraeus. — v. 565 *τὸ σὸν δ' ἐκείνῃ θυγάτριον παρῆκας* Fritzschius. — 567 *δὴ* Bothius.

SCRIPTURAE DISCREPANTIA.

v. 558 *ΚΗΔ.*] om. *R — G* | *ὡς τ' αὖ τὰ*] *ὡς τ' αυτὰ R ὡς ταῦτα G* | *ἐξ*] *ἐξ' R* ‖ v. 559 *γαλῆν*] *γαλὴν R γαλήν G* | *φαμὲν*] *φαμέν* corr. ex *φαμὲν R φαμεν G* | *ΓΥ. Α.*] : *R — G* ‖ v. 560 *ΚΗΔ.*] — *RG* | *οὐδ' ὡς γυνὴ τὸν ἄνδρα τῷ πελέκει*] *οὐδ' ὡς τὸν ἄνδρα τῷ πελέκει γυνὴ RG* ‖ v. 562 *κατώρυξέν ποτ'*] *κατώρυξέν ποτε· R κατώρυξέ ποτε G* | *ΓΥ. Α.*] om. *R — G* ‖ v. 563 *ΚΗΔ.*] om. *R — G* | *ἀχαρνικὴ*] *ἀχαρνικὴ* corr. ex *ἀγχαρνικὴ R ἀχαρνικὴ G* | *ΓΥ. Α.*] om. *R — G* | *ἀνέκτ'*] *ἄνεκτ' RG* ‖ v. 564 *ΚΗΔ.*] omm. *RG* ‖ v. 565 *τὸ σὸν δ' ἐκείνῃ θυγάτριον παρῆκας.*] *τὸ σὺν δε θυγάτριον παρῆκας αὐτῇ RG* ‖ v. 566 *ΓΥ. Α.*] — *RG* | *καταπροίξει*] corr. ex *καταπροίξεις G* ‖ v. 567 *σου*] *σοῦ G* | *ΚΗΔ.*] : *R — G* | *οὐ δὴ*] *οὐ δε R οὐδὲ G* | : *οὐ δε μὰ δία σύ γ' ἅψει* verba unum versum efficiunt in *R* ‖ v. 568 *ΓΥ. Α.*] om. *R — G* | *ΚΗΔ.*] om. *R — G* | *ΓΥ. Α.*] : *R — G* | *λαβὲ*] *λάβε RG* | *θοἰμάτιον*] *θοιμάτιον RG* | *Φιλίστη*] *φιλίστη* rasura corr. ex *φιλήστη* in *R*

ΚΗΔ. πρόσθες μόνον, κἀγώ σε νὴ τὴν Ἄρτεμιν ΓΥ. *Α.* τί δράσεις;
ΚΗΔ. τὸν σησαμοῦνθ' ὃν κατέφαγες, τοῦτον χεσεῖν ποιήσω.
ΚΟΡ. παύσασθε λοιδορούμεναι· καὶ γὰρ γυνή τις ἡμῖν ἐσπουδακυῖα προστρέχει. πρὶν οὖν ὁμοῦ γενέσθαι, σιγᾶθ', ἵν' αὐτῆς κοσμίως πυθώμεθ' ἅττα λέξει.
ΚΛΕΙ. φίλαι γυναῖκες, ξυγγενεῖς τοὐμοῦ τρόπου, [ὅτι μὲν φίλος εἰμ' ὑμῖν ἐπίδηλος ταῖς γνάθοις.]
γυναικομανῶ γὰρ προξενῶ θ' ὑμῶν ἀεί.
καὶ νῦν ἀκούσας πρᾶγμα περὶ ὑμῶν μέγα ὀλίγῳ τι πρότερον κατ' ἀγορὰν λαλούμενον, ἦκω φράσων τοῦτ' ἀγγελῶν θ' ὑμῖν, ἵνα σκοπῆτε καὶ τηρῆτε μὴ καὶ προσπέσῃ ἡμῖν ἀφρᾶκτοις πρᾶγμα δεινὸν καὶ μέγα.
ΚΟΡ. τί δ' ἔστιν, ὦ παῖ; παῖδα γάρ σ' εἰκὸς καλεῖν, ἕως ἂν οὕτως τὰς γνάθους ψιλὰς ἔχῃς.
ΚΛΕΙ. Εὐριπίδην φάσ' ἄνδρα κηδεστήν τινα αὐτοῦ, γέροντα, δεῦρ' ἀναπέμψαι τημερον.

ADNOTATIO CRITICA.

v. 575 versum spurium esse intellexit Cobetus. — v. 580 σκοπῆτε καὶ τηρῆτε Kusterus. — μὴ καὶ Porsonus.

SCRIPTURAE DISCREPANTIA.

v. 569 *ΚΗΔ.*] — *RG* | κἀγώ σε] καγὼ σε *R* | ΓΥ. *Α.*] : *R* — *G* ‖ v. 570 *ΚΗΔ.*] om. *R* — *G* | χεσεῖν ποιήσω.] χεσεῖν ποήσω in ras. scripsit R^2 χεσεῖν ποήσω ex χερ χεσεῖν ποήσω corr. *G* ‖ v. 571 *ΚΟΡ.*] — *R* $\overset{o}{\chi}$ add. R^2 χο$\overset{o}{\rho}$ *G* | παύσασθε] παύσασθαι *R* ‖ v. 572 ὁμοῦ] corr. ex ὁμου R^2 ‖ v. 573 ἵν'] ἰν' *G* ‖ v. 574 *ΚΛΕΙ.*] om. *R* κλει$\overset{\theta}{\sigma}$ add. R^2 κλει$\overset{\theta}{\sigma}$ est in *G* | ξυγγενεῖς] συγγενεῖς *G* | τοὐμοῦ] τοῦ μοῦ *G* ‖ v. 575 εἶμ'] εἶμ' *R* εἰμ' *G* ‖ v. 576 ἀεί.] ἀεί. corr. ex ἀεὶ. *R* ἀεὶ est in *G* ‖ v. 578 τι] τί *R* ‖ v. 579 φράσων] φράσω *R* corr. in φράσων R^2 | ἀγγελῶν] ἀγγέλων *R* corr. in ἀγγελῶν R^2 ‖ v. 580 σκοπῆτε] σκοπεῖτε· *R* σκοπεῖτε *G* | τηρῆτε] τηρεῖτε· *R* τηρεῖτε *G* | μὴ καὶ] καὶ μὴ *RG* ‖ v. 581 ἡμῖν] ὑμῖν *G* ‖ v. 582 *ΚΟΡ.*] erasa est nota pers. in *R* χο$\overset{o}{\rho}$ est in *G* | ἔστιν] εστὶν *R* ἐστὶν *G* ‖ v. 584 *ΚΛΕΙ.*] erasa est nota pers. in *R* | φάσ'] ἔφασ' *R* ἔφας *G* ‖ v. 585 αὐτοῦ,] αὐτοῦ *RG* | ante δεῦρ' est spatium trium fere litterarum in *G*

ΚΟΡ. πρὸς ποῖον ἔργον, ἢ τίνος γνώμης χάριν;
ΚΛΕΙ. ἵν' ἅττα βουλεύοισθε καὶ μέλλοιτε δρᾶν,
ἐκεῖνος εἴη τῶν λόγων κατάσκοπος.
ΚΟΡ. καὶ πῶς λέληθεν ἐν γυναιξὶν ὢν ἀνήρ;
ΚΛΕΙ. ἀφηῦσεν αὐτὸν κἀπέτιλ' Εὐριπίδης
καὶ τἄλλ' ἅπανθ' ὥσπερ γυναῖκ' ἐσκεύασεν.
ΚΗΔ. πείθεσθε τούτῳ ταῦτα; τίς δ' οὕτως ἀνὴρ
ἠλίθιος ὅστις τιλλόμενος ἠνείχετ' ἄν;
οὐκ οἶομαι 'γωγ', ὦ πολυτιμήτω θεώ.
ΚΛΕΙ. ληρεῖς· ἐγὼ γὰρ οὐκ ἂν ἦλθον ἀγγελῶν,
εἰ μὴ 'πεπύσμην ταῦτα τῶν σάφ' εἰδότων.
ΚΟΡ. τὸ πρᾶγμα τουτὶ δεινὸν εἰσαγγέλλεται.
ἀλλ', ὦ γυναῖκες, οὐκ ἐλινύειν ἐχρῆν,
ἀλλὰ σκοπεῖν τὸν ἄνδρα καὶ ζητεῖν ὅπου
λέληθεν ὑμᾶς κρυπτὸς ἐγκαθήμενος.
καὶ σὺ ξυνέξευρ' αὐτόν, ὡς ἂν τὴν χάριν
ταύτην τε κἀκείνην ἔχῃς, ὦ πρόξενε.
ΚΛΕΙ. φέρ' ἴδω· τίς ἡ πρώτη σύ; *ΚΗΔ.* ποῖ τις τρέψεται;

ADNOTATIO CRITICA.

v. 590 *ἀφηῦσεν* Meinekius. — *κἀπέτιλ'* Bekkerus. — v. 593 *ἠνείχετ' ἄν*; Brunckius. — v. 594 *οἶομαι 'γωγ'* Bentleius. — v. 596 *'πεπύσμην ταῦτα* Bentleius. — vv. 597—602, v. 607, vv. 613 et 614, ut alios, Arnoldtio praeeunte Coryphaeo dedi. — v. 601 *ξυνέξευρ'* Suidas.

SCRIPTURAE DISCREPANTIA.

v. 586 *ΚΟΡ.*] — *RG* | *τίνος*] *τινὸς G* ‖ v. 587 *ΚΛΕΙ.*] om. *R* — *G* | *μέλλοιτε*] corr. ex *μέλλοισθε G* | *δρᾶν*] *δρᾷν G* | v. 589 *ΚΟΡ.*] — *RG* | *ὢν*] *ὦν R* ‖ v. 590 *ΚΛΕΙ.*] — *RG* | *ἀφηῦσεν*] *ἄφευσεν RG* | *κἀπέτιλ'*] *κ' ἀπετιλλ' R κἀπέτιλλ' G* ‖ v. 591 *τἄλλ' ἅπανθ'*] *τ' ἄλλ' ἅπανθ' R τ' ἄλλ' ἅπανθ' G* ‖ v. 592 *ΚΗΔ.*] — *R* $\overset{\Delta}{\text{κη}}$ add. R^2 $\overset{\delta}{\text{κη}}$ est in *G* ‖ v. 593 *ἠνείχετ' ἄν*;] *ἠνείχετο RG* ‖ v. 594 *οὐκ οἶομαι 'γωγ',*] *οὐκ' οἶομ ἐγωγ'· R οὐκ οἶομ' ἔγωγ' G* | *θεώ*] corr. ex *θεὼ R* ‖ v. 595 *ΚΛΕΙ.*] — *R* $\overset{\delta}{\text{κλειῶ}}$ add. R^2 | *οὐκ*] *οὐκ' R* ‖ v. 596 *'πεπύσμην*] *πεπύσμην· R πεπύσμην G* | *ταῦτα*] *ταυτὶ RG* ‖ v. 597 *ΚΟΡ.*] om. *R* $\overset{o}{\chi}$ add. R^2 $\chi o\overset{o}{\rho}$ est in *G* ‖ v. 600 *ὑμᾶς*] *ἡμᾶς G* ‖ v. 601 *καὶ*] — *καὶ RG* | *ξυνέξευρ'*] *σὺν ἐξεῦρ' R συνεξεῦρ' G* ‖ v. 602 *κἀκείνην*] *κακείνην R* ‖ v. 603 *ΚΛΕΙ.*] — *R* $\overset{\delta}{\text{κλειῶ}}$ add. R^2 | *ἡ*] *εἶ R* | *σύ*] corr. ex *σὺ R* | *ΚΗΔ.*] : *R* $\overset{\Delta}{\text{κη}}$ superscr. R^2 — atramento pictum et *κηδ.* minio superscriptum *G* | *τις τρέψεται;*] *τίσ τρέψεται· R τι στρέψεται G*

ΚΛΕΙ. ζητητέαι γάρ ἐστε. *ΚΗΔ.* κακοδαίμων ἐγώ.
ΓΥ. Α. ἔμ' ἥτις εἴμ' ἤρου; Κλεωνύμου γυνή.
ΚΛΕΙ. γιγνώσκεθ' ὑμεῖς ἥτις ἔσθ' ἡδὶ γυνή;
ΚΟΡ. γιγνώσκομεν δῆτ'· ἀλλὰ τὰς ἄλλας ἄθρει.
ΚΛΕΙ. ἡδὶ δὲ δὴ τίς ἐστιν ἡ τὸ παιδίον
ἔχουσα; *ΓΥ. Α.* τίτθη νὴ Δί' ἐμή. *ΚΗΔ.* διοίχομαι.
ΚΛΕΙ. αὕτη σὺ ποῖ στρέφει; μέν' αὐτοῦ. *ΚΗΔ.* τί τὸ κακόν;
ἔασον οὐρῆσαί μ', ἀναίσχυντός τις εἶ.
ΚΛΕΙ. σὺ δ' οὖν ποίει τοῦτ'· ἀναμενῶ γὰρ ἐνθάδε.
ΚΟΡ. ἀνάμενε δῆτα, καὶ σκόπει γ' αὐτὴν σφόδρα·
μόνην γὰρ αὐτήν, ὦνερ, οὐ γιγνώσκομεν.
ΚΛΕΙ. πολύν γε χρόνον οὐρεῖς σύ. *ΚΗΔ.* νὴ Δί', ὦ μέλε·

ADNOTATIO CRITICA.

v. 605 εἴμ' inseruit Porsonus. — ἥτις iam Zanettus correxerat. — v. 606 ἡδὶ editio Brubachiana. — v. 610 *ΚΗΔ.* ante τί τὸ κακόν; verba inseruit Lentingius. — v. 611 τις add. Kusterus. — v. 612 ἀναμενῶ Kusterus.

SCRIPTURAE DISCREPANTIA.

v. 604 *ΚΛΕΙ.*] — *RG* | ἐστε] εστε *R* ἐστὲ *G* | *ΚΗΔ.*] : *R* — *G* | ἐγώ.] ἐγώ· corr. ex ἐγὼ· *R* ἐγὼ *G* ‖ v. 605 *ΓΥ. Α.*] — *R* γυνὴ μία add. R^2 γυνὴ μία *G* | ἔμ' ἥτις] ἔμ' εἴτις *R* ἐμεί τις *G* | εἴμ' ἤρου; Κλεωνύμου] ήρου : Κλεωνύμου *R* ἤρου — Κλεῶνύμου *G* ‖ v. 606 *ΚΛΕΙ.*] — *R* κλεισ$^{\vartheta}$ add. R^2 — superscripto κλει$^{\sigma\vartheta}$, utrumque minio pictum, *G* | ἥτις] ἥτις *R* | ἔσθ'] ἐσθ' *G* | ἡδὶ] ἧδε *R* ἡδ' ἡ *G* ‖ Iuxta vv. 605 et 606, nam unum versum efficiunt, in margine sinistro est ∗ *G* ‖ v. 607 *ΚΟΡ.*] — *R* χορ. add. R^2 χορ$^{\grave{o}}$. κλει$^{\sigma\vartheta}$ utrumque minio, sed deleto κλει$^{\sigma\vartheta}$ lineola traducta *G* | γιγνώσκομεν] γινώσκομεν *G* ‖ v. 608 *ΚΛΕΙ.*] erat — sed deletum est *R* — *G* | δὲ δὴ] δε δὴ *R* δε δή *G* | ἐστιν] ἐστιν· *R* ἐστὶν, *G* ‖ v. 609 *ΓΥ. Α.*] om. *R* — *G* | τίτθη νὴ Δί'] τίτθην η δι' corr. ex τιτθὴν ἡ (vel ἡ) δι' *R* | *ΚΗΔ.*] : *R* — *G* ‖ v. 610 *ΚΛΕΙ.*] — *R* κλεισ$^{\vartheta}$. add. R^2 | ποῖ] ποι *G* | μέν'] μεν *G* | *ΚΗΔ.*] omm. *RG* | τί] τὶ *G* ‖ v. 611 ἔασον] — ἔασον *RG* | ante ἀναίσχυντος spatium rel. in *G* | τις] omm. *RG* ‖ v. 612 *ΚΛΕΙ.*] — *RG* | σὺ] σύ *R* | ποίει] πόει *RG* | ἀναμενῶ] ἀναμένω *RG* ‖ v. 613 *ΚΟΡ.*] — *R* χορ add. R^2 erat. χορ$^{\grave{o}}$, sed deletum est lineola traducta *G* ‖ v. 614 ὦνερ] ὠ 'νερ *R* | γιγνώσκομεν] γινώσκομεν *RG* ‖ v. 615 *ΚΛΕΙ.*] — *R* κλεισ$^{\vartheta}$ add. R^2 | πολύν] πολύ *RG* | *ΚΗΔ.*] : *R* μνη$^{\sigma}$ superscr. R^2 μνη$^{\sigma\iota}$ est in *G*

στραγγουριῶ γάρ· ἐχθὲς ἔφαγον κάρδαμα.
ΚΛΕΙ. τί καρδαμίζεις; οὐ βαδιεῖ δεῦρ' ὡς ἐμέ;
ΚΗΔ. τί δῆτά μ' ἕλκεις ἀσθενοῦσαν; ΚΛΕΙ. εἰπέ μοι,
τίς ἔστ' ἀνήρ σοι; ΚΗΔ. τὸν ἐμὸν ἄνδρα πυνθάνει;
τὸν δεῖνα γιγνώσκεις, τὸν ἐκ Κοθωκιδῶν;
ΚΛΕΙ. τὸν δεῖνα; ποῖον; ΚΗΔ. ἔσθ' ὁ δεῖν', ὃς καί ποτε
τὸν δεῖνα τὸν τοῦ δεῖνα ΚΛΕΙ. ληρεῖν μοι δοκεῖς.
ἀνῆλθες ἤδη δεῦρο πρότερον; ΚΗΛ. νὴ Δία,
ὀσέτη γε. ΚΛΕΙ. καὶ τίς σοὐστὶ συσκηνήτρια;
ΚΗΔ. ἡ δεῖν' ἔμοιγ'. ΚΛΕΙ. οἴμοι τάλας. οὐδὲν λέγεις.
ΓΥ. Α. ἄπελθ'. ἐγὼ γὰρ βασανιῶ ταύτην καλῶς
ἐκ τῶν ἱερῶν τῶν πέρυσι· σὺ δ' ἀπόστηθί μοι.
ἵνα μὴ 'πακούσῃς ὧν ἀνήρ. σὺ δ' εἰπέ μοι
ὅ τι πρῶτον ἡμῖν τῶν ἱερῶν ἐδείκνυτο.
ΚΗΔ. φέρ' ἴδω, τί μέντοι πρῶτον ἦν; ἐπίνομεν.
ΓΥ. Α. τί δὲ μετὰ τοῦτο δεύτερον; ΚΗΔ. προὐπίνομεν.

ADNOTATIO CRITICA.

v. 624 ὀσέτη Schaeferus. — v. 631 μετὰ τοῦτο Suidas.

SCRIPTURAE DISCREPANTIA.

v. 616 ἐχθὲς] ἐχθες *R* ἔχθες *G* ‖ v. 617 ΚΛΕΙ.] — *RG* ‖ v. 618 ΚΗΔ.] — *RG* | ἕλκεις] ελκεις *R* | post ἀσθενοῦσαν erat εἰ, sed deletum est inter scribendum *G* | ΚΛΕΙ.] : *R* — *G* ‖ v. 619 τίς] — τίς *G* | ἔστ' ἀνήρ] ἔσθ' ανήρ *R* ἐστ' ἀνήρ *G* | ΚΗΔ.] : *R* — *G* ‖ v. 620 τὸν δεῖνα] corr. ex — τὸν δεῖνα *R* | Κοθωκιδῶν;] κοθωκιδῶν *R* κοθωκιδῶν corr. ut videtur ex κωθωκιδῶν *G* ‖ v. 621 ΚΛΕΙ.] — *RG* | ΚΗΔ.] om. *R* — *G* | ἔσθ'] ἐσθ' *G* | ὃς] ὁς corr. ex ὃς *R* ὁς est in *G* ‖ v. 622 τὸν δεῖνα] — τὸν δεῖνα *RG* | τοῦ] om. *G* | ΚΛΕΙ.] : *R* — *G* ‖ v. 623 ἀνῆλθες] — ἀνῆλθες *RG* | ΚΗΔ.] : *R* — *G* | νὴ] νη ras. corr. ex νὴ in *R* ‖ v. 624 ὀσέτη] ὅσ ἔτη *R* ὅσ' ἔτη *G* | ΚΛΕΙ.] : *R* — *G* | σοὐστὶ] σοὐστίν *R* σοῦστιν *G* ‖ v. 625 ΚΗΔ.] — *RG* | ἡ δεῖν'] ἢ δειν' *R* ἢ δεῖν' *G* | ἔμοιγ'] ἔμοιγε *RG* | ΚΛΕΙ.] : *R* — *G* | οὐδὲν] οὐδεν *R* ‖ v. 626 ΓΥ. Α.] — *R* γῦ add. R^2 γυνὴ *G* ‖ v. 627 inter πέρυσι et σὺ vocabula spatium duarum fere litterarum rel. in *G* ‖ v. 628 ἵνα] ινα *R* | μὴ 'πακούσῃς] μὴ π' ακούσης *R* μὴπακούσῃς *G* ‖ v. 630 ΚΗΔ.] — *R* μσί *G* | τί] τὶ *G* | μέντοι in textu omissum in margine add. *R* om. *G* | ἦν;] ἦν *R* ἴν *G* ‖ v. 631 ΓΥ. Α.] — *RG* | τί δὲ μετὰ τοῦτο] τι δέ με τοῦτο *R* τί δέ με τυῦτο *G* | ΚΗΔ.] : *R* — *G*

ΓΥ. *Α.* ταυτὶ μὲν ἤκουσάς τινος σύ· τί δὲ τρίτον;
ΚΗΔ. σκάφιον Ξένυλλ' ἤτησεν· οὐ γὰρ ἦν ἀμίς.
ΓΥ. *Α.* δύδὲν λέγεις. δεῦρ' ἐλθέ, δεῦρ', ὦ Κλεισθενες·
ὅδ' ἐστὶν ἀνὴρ ὃν λέγεις. ΚΛΕΙ. τί οὖν ποιῶ;
ΓΥ. *Α.* ἀπόδυσον αὐτόν· οὐδὲν ὑγιὲς γὰρ λέγει.
ΚΗΔ. κἄπειτ' ἀποδύσετ' ἐννέα παίδων μητέρα;
ΚΛΕΙ. χάλα ταχέως τὸ στρόφιον, ὠναίσχυντε σύ.
ΓΥ. *Α.* ὡς καὶ στιβαρά τις φαίνεται καὶ καρτερά·
καὶ νὴ Δία τιτθούς γ' ὥσπερ ἡμεῖς οὐκ ἔχει.
ΚΗΔ. στερίφη γάρ εἰμι κοὐκ ἐκύησα πώποτε.
ΓΥ. *Α.* νῦν· τότε δὲ μήτηρ ἦσθα παίδων ἐννέα.
ΚΛΕΙ. ἀνίστασ' ὀρθός. ποῖ τὸ πέος ὠθεῖς κάτω;
ΓΥ. *Α.* τοδὶ διέκυψε καὶ μάλ' εὔχρων, ὦ τάλαν.
ΚΛΕΙ. καὶ ποῦ 'στιν; ΓΥ. *Α.* αὖθις εἰς τὸ πρόσθεν οἴ-
χεται.
ΚΛΕΙ. οὐκ ἐνγετανθί. ΓΥ. *Α.* μᾶλλὰ δεῦρ' ἥκει πάλιν.

ADNOTATIO CRITICA.

v. 632 *σύ·* addidit Engerus. — v. 635 *ἀνὴρ* Bentleius. — v. 641 *στερίφη* Meinekius. — 643 versum Clistheni tribuit Brunckius. — v. 644 *διέκυψε* Dobraeus. — v. 646 *μᾶλλὰ* Bentleius.

SCRIPTURAE DISCREPANTIA.

v. 632 *ΓΥ. Α.*] — *RG* | *ἤκουσάς τινος σύ·*] *ἤκουσας τίνος· R ἤκουσας τινὸς; G* | *τί*] *τὶ G* ‖ v. 633 *ΚΗΔ.*] — *RG* ‖ v. 634 *ΓΥ. Α.*] — *RG* | *δεῦρ', ὦ*] *δεῦρο R* corr. in *δεῦρ' ὦ* R^2 *δεῦρο* est in *G* | *Κλεισθενες*] *κλεισόσθενες R κλεισόσθενες G* ‖ v. 635 *ὅδ'*] — *ὅδ' R* — *ὁδ'* erat, sed — deletum est lin. traducta in *G* | *ἀνὴρ*] *ἀνὴρ RG* | *ΚΛΕΙ.*] : *R* — *G* | *τί οὖν*] *τι οῦν R τὶ οὖν G* | *ποιῶ;*] *ποῶ· R ποῶ G* ‖ v. 636 *ΓΥ. Α.*] om. *R* — *G* ‖ v. 637 *ΚΗΔ.*] om. *R* *μνῆ* add. R^2 *μνῆ* est in *G* | *μητέρα;*] *μητέρα· R μητέρα G* ‖ v. 638 *ΚΛΕΙ.*] om. *R* — *G* | *χάλα*] *χάλαι R χάλα G* | *ὠναίσχυντε*] *ὦν' αἰσχυντε R ὦ 'ναίσχυντε G* ‖ v. 639 *ΓΥ. Α.*] omm. *RG* | *τις*] *τίς G* ‖ v. 640 *τιτθούς*] *τίτθος RG* ‖ v. 641 *ΚΗΔ.*] — *RG* | *στερίφη*] *στεριφῆι R στεριφὴ G* | *εἰμι*] *ειμι R εἰμὶ G* | *κοὐκ*] *κ' οὐκ' R* ‖ v. 642 *ΓΥ. Α.*] omm. *RG* | *δὲ μήτηρ*] *δημήτηρ R* ‖ v. 643 *ΚΛΕΙ.*] omm. *RG* | *ἀνίστασ'*] *ἀνίστασ RG* | *ὀρθός*] *ὀρθῶς G* ‖ v. 644 *ΓΥ. Α.*] — *RG* | *τοδὶ διέκυψε*] *τὸ δὶ δὴ ἔκυψε RG* ‖ v. 645 *ΚΛΕΙ.*] — *R* *κλειθ* add. R^2 — *G* | *ΓΥ. Α.*] : *R* — *G* | *εἰς*] *ἐς RG* ‖ v. 646 *ΚΛΕΙ.*] — *RG* | *ἐνγετανθί*] *ἐνγετανθι R* | *ΓΥ. Α.*] : *R* — *G* | *μᾶλλὰ*] *ἀλλὰ RG* | *ἥκει πάλιν* vocabula in ras. longiore scripta sunt ab R^2

ΚΛΕΙ. ἰσθμόν τιν' ἔχεις, ὦνθρωπ'· ἄνω τε καὶ κάτω
τὸ πέος διέλκεις πυκνότερον Κορινθίων.
ΓΥ. Α. ὦ μιαρὸς οὗτος· ταῦτ' ἄρ' ὑπὲρ Εὐριπίδου
ἡμῖν ἐλοιδορεῖτο. ΚΗΔ. κακοδαίμων ἐγώ, 650
εἰς οἷ' ἐμαυτὸν εἰσεκύλισα πράγματα.
ΓΥ. Α. ἄγε δὴ τί δρῶμεν; ΚΛΕΙ. τουτονὶ φυλάττετε
καλῶς, ὅπως μὴ διαφυγὼν οἰχήσεται·
ἐγὼ δὲ ταῦτα τοῖς πρυτάνεσιν ἀγγελῶ.
ΚΟΡ. ἡμᾶς τοίνυν μετὰ τοῦτ' ἤδη τὰς λαμπάδας ἁψαμέ-
νας χρὴ 655
ξυζωσαμένας εὖ κἀνδρείως τῶν θ' ἱματίων ἀποδύσας
ζητεῖν, εἴ που κἄλλος τις ἀνὴρ ἀνελήλυθε, καὶ
περιθρέξαι
τὴν πύκνα πᾶσαν καὶ τὰς σκηνὰς καὶ τὰς διόδους
διαθρῆσαι.
εἶα δὴ πρώτιστα μὲν χρὴ κοῦφον ἐξορμᾶν πόδα,

ADNOTATIO CRITICA.

v. 647 *ὦνθρωπ'* Porsonus. — v. 651 *εἰσεκύλισα* ed. Batava a. 1624. — v. 653 *οἰχήσεται* Bentleius. — v. 657 *ἀνελήλυθε* Fritzschius. — v. 658 *διαθρῆσαι* Kusterus.

SCRIPTURAE DISCREPANTIA.

v. 647 Versum om. R in margine add. R^2 in textu omissum in margine iuxta v. 644 add. G | *ΚΛΕΙ.*] om. R^2 — G | *ἰσθμόν*] *ἰσθμον* ras. corr. ex *ἰσθμὸν* in R | *τιν'*] *τίν'* R^2 | *ὦνθρωπ'*] *ὠνθρωπε* R^2 *ἄνθρωπε* G | *τε*] om. G ‖ v. 649 *ΓΥ. Α.*] — R *γυνὴ* add. R^2 *γὴ* corr. ex *γυνὴ* G | *ἄρ' ὑπὲρ*] *ἄρ ὑπερ* R ‖ v. 650 *ΚΗΔ.*] : R *μνῆ* supra lineam add. R^2 *μνῆι* est in G | *ἐγώ,*] *ἐγὼ·* corr. ex *ἐγώ·* R *ἐγὼ* est in G ‖ v. 651 *εἰσεκύλισα*] *εἰσεκύλησα* RG ‖ v. 652 *ΓΥ. Α.*] om. R *γῦ* add. R^2 *γυνὴ* est in G | *ΚΛΕΙ.*] om. R — G | *τουτονὶ*] corr. ex *τοῦτονὶ* G ‖ v. 653 *οἰχήσεται*] *οἴχεται* RG ‖ v. 654 *πρυτάνεσιν*] *πρυτάνεσσιν* R ‖ v. 655 *ΚΟΡ.*] om. R *χ* add. R^2 *χορ* est in G | *ἁψαμένας*] *ἀψαμένας* R ‖ v. 656 *κἀνδρείως*] *κ' ἀνδρείως· R* ‖ v. 657 *κἄλλος*] *κ' ἄλλός R κἄλλός G* | *ἀνελήλυθε*] *ἐσεληλυθεν RG* | *περιθρέξαι*] *περὶθρέξαι R* ‖ v. 658 *πᾶσαν*] *πάσαν: R* | *διαθρῆσαι*] *ἀθρῆσαι RG* haec vox unum versum efficit in R ‖ v. 659 Ante versum est — R HMI ΓΥ add. R^2 *ἡμῖ γυναῖ* est in G | *εἶα*] *εἰα R εἴα G*

καὶ διασκοπεῖν σιωπῇ πανταχῇ· μόνον δὲ χρὴ
μὴ βραδύνειν, ὡς ὁ καιρός ἐστι μὴ μέλλειν ἔτι,
ἀλλὰ τὴν πρώτην τρέχειν χρή σ' ὡς τάχιστ' ἤδη
κύκλῳ.

HMIX. α. εἰά νυν ἴχνευε ταχὺ πάντ'
εἴ τις ἐν τόποις ἑδραῖος
ἄλλος αὖ λέληθεν ὤν.

HMIX. β. πανταχῇ δὲ ῥῖψον ὄμμα,
καὶ τὰ τῇδε καὶ τὰ δεῦρο
πάντ' ἀνασκόπει καλῶς.

XOP. ἦν γάρ με λάθῃ δράσας ἀνόσια,

663—664 = 665—666
668—687 = 707—727

ADNOTATIO CRITICA.

vv. 663—667 inter hemichoria distribui. — v. 660 *πανταχῇ* Meinekius. — *πανταχῇ· μόνον δὲ χρὴ* Kusterus. — v. 662 *χρή σ'* Porsonus. — v. 663 *καὶ μάτευε* verba glossema esse intellexit Engerus. — v. 663 b coniecerim scripsisse Aristophanem: *εἴ τις ἐνγεταῦθ' ἑδραῖος*. Vocabulo *ἐνγεταῦθ'* superscriptum erat interpretamentum: *ἐν τούτοις τοῖς τόποις*, quod in archetypo in textum irrepsit, loco movens *ἐνγεταῦθ'* vocem. Sed cum aperte metro repugnarent verba, qui *R* exaravit librarius *ἐν τούτοις* tantum scripsit. Quod corrigere sibi videbatur R^2 receptis, quae et ipsa in archetypo erant, *ἐν τόποις* vocibus. Ad *ἐνγεταῦθα* cfr. v. 646 et Avium v. 11 apud Meinekium. — v. 665 *δὲ ῥῖψον* Hermannus. — v. 667 *με λάθῃ* Bergkius.

SCRIPTURAE DISCREPANTIA.

v. 660 *σιωπῇ*] *σιωπη G* | *πανταχῇ· μόνον δὲ χρὴ*] *μόνον δὲ (δε R) χρὴ πανταχῇ RG* ‖ v. 661 *βραδύνειν*] corr. ut vid. ex *βραδύνεις G* | *καιρός ἐστι*] *καιρός εστι* corr. ex *καιρὸς εστι R καιρός ἐστὶ* est in *G* ‖ v. 662 *χρή σ'*] *χρὴ RG* | *ὡς*] corr. ex *ὣς R* | *κύκλῳ*] *κύκλω G* ‖ in vv. 663—688 verba sic disposita sunt, ut singuli versus finiantur vocibus: *πάν* (in *πάν* | *τ'*) | *ὤν* | *ὄμμα* | *καλῶς* | *ἀνόσια* | *τούτῳ* | *ἔσται* | *ἔργων* | *τρόπων* | *φανερῶς* | *ἤδη* | *δαίμονας* | *ἐφέποντας* | *μηδομένους* | *ἔχει* | *ἔσται* | *δρῶν* | *φλέγων* | *παράκοπος* | *ὁρᾶν* | *βροτοῖς* | *θεὸς* | *ἀποτίνεται* | *τίνεται* | *καλῶς* | *ἐγκαθήμενον RG* ‖ v. 663 *HMIX. α.*] omm. *RG* | *εἰά νυν*] *εἴα νῦν RG* | *ἴχνευε ταχὺ*] *ἴχνευε· καὶ μάτευε ταχὺ R ἴχνευε καὶ μάτευε ταχὺ G* | *πάντ'*] *πάν* | *τ'* corr. ex *πᾶν* | *τ' G* ‖ v. 664 *τόποις*] *τούτοις R* corr. in *τόποις* R^2 | *ἑδραῖος*] *ἑδραῖος R* ‖ v. 665 *HMIX. β.*] omm. *RG* | *πανταχῇ*] *πανταχῇ G* | *δὲ ῥῖψον*] *διάρριψον R διάῤῥιψον* in corr. est prius *ῥ G* ‖ v. 666 *τὰ τῇδε*] *τα τῆδε· R τὰ, τῇδε* corr. ex *κὰ, τῇδε G* ‖ v. 667 *XOP.*] omm. *RG* | *ἦν*] *ἦν* corr. ex *ἦν R* | *γάρ με*] *γαρ μὴ R γὰρ μὴ G*

δώσει τε δίκην, καὶ πρὸς τούτῳ
τοῖς ἄλλοις ἀνδράσιν ἔσται
παράδειγμ' ὕβρεως ἀδίκων τ' ἔργων,
ἀθέων τε τρόπων·
φήσει δ' εἶναί τε θεοὺς φανερῶς,
δείξει τ' ἤδη
πᾶσιν ἀνθρώποις σεβίζειν δαιμόνων δίκην ἀεί,
ὥστ' ἐφέπειν ὄντως ὅσια καὶ νόμιμα
μηδομένους ποιεῖν ὅ τι καλῶς ἔχει.
κἂν μὴ ποιῶσι ταῦτα, τοιάδ' ἔσται·
αὐτῶν ὅταν ληφθῇ τις ἀνόσιόν τι δρῶν,
ἢ μανίαις φλέγων, λύσσῃ παράκοπος,
εἰ δρῴη τί πως,
πᾶσιν ἐμφανὴς ὁρᾶν ἔσται γυναιξὶ καὶ βροτοῖσιν,
ὅτι τά τε παράνομα τά τ' ἀνόσια παραυ-
τὰ τίνεται θεός.

ΚΟΡ. ἀλλ' ἔοιχ' ἡμῖν ἅπαντά πως διεσκέφθαι καλῶς.

ADNOTATIO CRITICA.

v. 669 *ἀνδράσιν ἔσται* Bergkius. — v. 674 *δαιμόνων δίκην ἀεί*, e coniectura scripsi. — v. 675 *ὥστ' ἐφέπειν ὄντως* Fritzschius. — v. 679 *ἀνόσιόν τι δρῶν* Hermannus. — v. 680 in *ἢ μανίαις* e coniectura adieci *ἢ* vocabulum. — v. 681 *εἰ δρῴη τί πως* e coniectura scripsi. — v. 683 *ἔσται* Reisigius. — *γυναιξὶ* Brunckius. — *βροτοῖσιν* Engerus. — vv. 684 et 685 emendavit Hermannus. — v. 686 nescio, an pro *ἅπαντά πως* scribendum sit: *ἅπαντ' ἤδη*.

SCRIPTURAE DISCREPANTIA.

v. 669 *τοῖς ἄλλοις*] corr. ex *τοῖς ἅπ ἄλλοις G* | *ἀνδράσιν ἔσται*] *ἅπασιν ἔσται* corr. ex *ἅπασιν ἅπασιν ἔσται R ἅπασιν ἔσται* est in *G* ‖ v. 671 *ἀθέων*] corr. ex *ἀθεὼν R* | *τρόπων*] corr. ex *τρωόπων R* ‖ v. 672 *εἶναί τε*] *εἰναί τε· R εἶναι τε G* ‖ v. 674 *σεβίζειν δαιμόνων δίκην ἀεί*,] *σεβίζειν δαίμονας· R σεβίζειν δαίμονας G* ‖ v. 675 *ὥστ' ἐφέπειν ὄντως*] *δικαίως τ' ἐφέποντας* (*ἐφέποντας R*) *RG* ‖ v. 677 *ὅ τι*] *ὅ,τι G* ‖ v. 678 *κἂν*] *κἀν R* | *ἔσται*] *εσται R* ‖ v. 679 *ὅταν*] *ὅτ ἂν R* | *τις*] *τίς R* | *ἀνόσιόν τι δρῶν*,] *ὅσια δρῶν RG* ‖ v. 680 *ἢ μανίαις*] *μανίαις RG* | *λύσσῃ*] *λύσση RG* ‖ v. 681 *εἰ δρῴη τί πως*,] *εἴ τι δρῴη R εἴ τι δρώη G* ‖ v. 683 *ἔσται*] *ἐστὶν R* corr. in *ἐστίν R*^{2} *ἔστιν G* | *γυναιξὶ*] *γυναιξὶν R γυναιξίν G* | *βροτοῖσιν*,] *βροτοῖς RG* ‖ vv. 684 et 685 in codd. ita leguntur: *ὅτι τὰ παράνομα τά τ' ἀνόσια θεὸς* | *ἀποτίνεται·* (*ἀποτίνεται G*) | *παραχρῆμά* (*παραχρῆμα G*) *τε τίνεται·* (*τίνεται G*) *RG* ‖ v. 686 *ΚΟΡ.*] omm. *RG* | *πως*] *πῶς G*

οὐχ ὁρῶμεν γοῦν ἔτ' ἄλλον οὐδέν' ἐγκαθήμενον.
ΓΥ. *A.* ἆ ποῖ σὺ φεύγεις; οὗτος οὗτος, οὐ μενεῖς;
τάλαιν' ἐγώ, τάλαινα, καὶ τὸ παιδίον
ἐξαρπάσας μου φροῦδος ἀπὸ τοῦ τιτθίου.
ΚΗΔ. κέκραχθι· τοῦτο δ' οὐδέποτε σὺ ψωμιεῖς,
ἢν μή μ' ἀφῇτ'· ἀλλ' ἐνθάδ' ἐπὶ τῶν μηρίων
πληγὲν μαχαίρᾳ τῇδε φοινίας φλέβας
καθαιματώσει βωμόν. ΓΥ. *A.* ὦ τάλαιν' ἐγώ.
γυναῖκες, οὐκ ἀρήξετ'; οὐ πολλὴν βοὴν
στήσεσθε καὶ τροπαῖον, ἀλλὰ τοῦ μόνου
τέκνου με περιόψεσθ' ἀποστερουμένην;
ΚΟΡ. ἔα ἔα.
ὦ πότνιαι Μοῖραι, τί τόδε δέρκομαι
νεοχμὸν αὖ τέρας;
ὡς ἅπαντ' ἄρ' ἐστὶ τόλμης μεστὰ κἀναισχυντίας.
οἷον αὖ δέδρακεν ἔργον, οἷον αὖ, φίλαι, τόδε.
ΚΗΔ. οἷον ὑμῶν ἐξαράξει τὴν ἄγαν αὐθαδίαν.

ADNOTATIO CRITICA.

v. 689 ᾆ Berglerus. — v. 691 *μου* Hamakerus. — v. 697 *καὶ τροπαῖον* scholia ad Pluti v. 453. — v. 700 *τόδε* Dobraeus. — v. 702 *ἅπαντ' ἄρ' ἐστὶ* Berglerus. — *μεστὰ* Porsonus. — v. 704 *ἐξαράξει* Bentleius.

SCRIPTURAE DISCREPANTIA.

v. 687 *οὐχ ὁρῶμεν γοῦν*] *οὐχ' ὁρῶμεν γ' οὖν R* | *οὐδέν'*] *οὐδὲν R* ‖ v. 689 *ΓΥ. A.*] — *R* $\gamma\bar{\upsilon}$ add. R^2 *γυνὴ G* | *ἆ*] *ἄ α· R ἄ ἄ G*, quae interiectio unum versum explet in *R* et *G* ‖ v. 691 *μου*] *μοι RG* ‖ v. 692 *ΚΗΔ.*] om. *R* $\mu\nu\bar{\eta}$ add. R^2 $\mu\nu\bar{\eta}^{\sigma\iota}$ est in *G* | *κέκραχθι·*] *κέκραθι G* ‖ v. 693 *ἢν*] *ἠν R* | *ἀφῇτ'·*] *ἀφῆτ'* corr. ex *ἀφεῖτ' R ἀφεῖτ' G* | *ἐνθάδ'*] *ενθάδε· R* ‖ v. 694 *πληγὲν*] *πηγὲν G* ‖ v. 695 *ΓΥ. A.*] : *R* om. spat. relicto *G* | *ἐγώ.*] corr. ex *ἐγὼ R* ‖ v. 697 *καὶ*] omm. *RG* | *τροπαῖον*] corr. ex *τρόπαιον R* ‖ v. 698 *περιόψεσθ'*] *περὶόψεσθ' R* | *ἀποστερουμένην*] corr. ex *ἀποστερουμένης R* ‖ v. 699 *ΚΟΡ.*] om. *R* $\chi o\bar{\rho}$. add. R^2 $\chi o\bar{\rho}^{\circ}$. est in *G* ‖ v. 700 *τόδε*] *δε RG* ‖ v. 701 *αὖ τέρας*] *αὐτέρας RG* ‖ v. 702 *ἅπαντ' ἄρ' ἐστὶ*] *ἅπαν γάρ εστιν· R ἅπαν γάρ ἐστιν G* | *μεστὰ*] *ἔργα RG* | *κἀναισχυντίας*] *κ' ἀναισχυντίας R* ‖ v. 703 *αὖ*] utroque loco ex *αὐ* corr. R^2 ‖ v. 704 *ΚΗΔ.*] om. *R* $\mu\nu\bar{\eta}$ add. R^2 $\mu\nu\bar{\eta}^{\sigma\iota}$ est in *G* | *ἐξαράξει*] *ἐξάρξω RG*

ΚΟΡ. ταῦτα δῆτ' οὐ δεινὰ πράγματ' ἐστὶ καὶ περαι-
τέρω;
ΓΥ. Α. δεινὰ δῆθ', ὅστις γ' ἔχει μου 'ξαρπάσας τὸ παιδίον.
ΚΟΡ. τί ἂν οὖν εἴποι πρὸς ταῦτά τις, ὅτε
τοιαῦτα ποιῶν ὅδ' ἀναισχυντεῖ;
ΚΗΔ. κοὔπω μέντοι γε πέπαυμαι.
ΚΟΡ. ἀλλ' οὖν ἥκεις γ' ὅθεν οὐ φαύλως
ἀποδρὰς λέξεις
οἷον δράσας διέδυς ἔργον,
λήψει δὲ κακόν.
ΚΗΔ. τοῦτο μέντοι μὴ γένοιτο μηδαμῶς, ἀπεύχομαι.
ΚΟΡ. τίς ἄν σοι, τίς ἂν σύμμαχος ἐκ θεῶν
ἀθανάτων ἔλθοι ξὺν ἀδίκοις ἔργοις;
ΚΗΔ. μάτην λαλεῖτε· τὴν δ' ἐγὼ οὐκ ἀφήσω.
ΧΟΡ. ἀλλ' οὐ μὰ τὼ θεὼ τάχ' οὐ χαίρων ἴσως

ADNOTATIO CRITICA.

v. 706 ὅστις Porsonus. — vv. 710 et 711 ἥκεις γ' Suidas, ceterum Reisigium secutus sum, nisi quod φαύλως scripsi pro φαύλως γ', id quod in adn. Meinekius quoque praefert. — v. 715 ἄν σοι Brunckius.

SCRIPTURAE DISCREPANTIA.

v. 705 ΚΟΡ.] — *R* χορ. add. R^2 $\chi o^{\circ}\rho$ est in *G* ‖ v. 706 ΓΥ. Α.] om. *R* γῦ add. R^2 γυνὴ est in *G* | ὅστις] ὅτι *RG* | ἔχει] εχει *R* corr. in ἑχει R^2 | μου 'ξαρπάσας] μου ξ'αρπάσας *R* μοὐξαρπάσας *G* ‖ v. 707 ΚΟΡ.] — *RG* | ταῦτά τις,] ταῦτα τίς· *R* ταὐτα τίς *G* ‖ v. 708 ὅδ'] δὸ' *G* ‖ v. 709 ΚΗΔ.] — *R* μνῆ add. R^2 $\mu\nu\overset{\sigma\iota}{\eta}$ est in *G* ‖ v. 710 ΚΟΡ.] om. *R* — *G* ‖ vv. 710 et 711 in codd. ita leguntur: ἀλλ' οὖν ἥκεις τ' (ἥκιστ' *G*) ὅθεν ἥκεις· (ἥκεις *G*) | φαύλως τ' ἀποδρὰς οὐ λέξεις· (λέξεις *G*) | *RG* ‖ v. 714 ΚΗΔ.] — *R* μνῆ add. R^2 $\mu\nu\overset{\sigma\iota}{\eta}$ est in *G* | μηδαμῶς,] μὴδαμῶς *R* | ἀπεύχομαι] ἐπεύχομαι super ε scripto α in ἀπεύχομαι corr. *R* ‖ v. 715 ΚΟΡ.] — *R* χορ. add. R^2 $\chi o^{\circ}\rho$ *G* | τίς ἄν σοι,] τίς οὖν σοι *RG* ‖ v. 716 ξὺν ἀδίκοις] ξυναδίκοις *R* ‖ v. 717 ΚΗΔ.] — *RG* | οὐκ] οὐκ' *R* ‖ v. 719 ΧΟΡ.] omm. *RG* ‖ in vv. 719—727 verba sic disposita sunt, ut singuli versus finiantur vocibus: τάχ' οὐ | ἐνυβριεῖς | ἀνοσίους | ἀντα- (in ἀντα | μειψόμεσθά) | τῶνδε | μεταβαλοῦ- (in μεταβαλοῦ | σ') | ἑτερότροπον | τύχη | ξύλων | τάχος | *RG*

ἐννυβριεῖς, λόγους λέξεις τ' ἀνοσίους
ἐπ' ἀθέοις ἔργοις
καὶ γὰρ ἀνταμειψόμεσθά σ', ὥσπερ εἰκός, ἀντὶ τῶνδε.
τάχα δὲ μεταβαλοῦσ' ἐφ' ἑτερότροπον ἄ-
την σ' ἐπέχει τύχη.

ΚΟΡ. ἀλλὰ τάσδε μὲν λαβεῖν χρῆν ἐκφέρειν τε τῶν ξύλων,
καὶ καταίθειν τὸν πανοῦργον, πυρπολεῖν θ' ὅσον τάχος.

ΓΥ. Α. ἴωμεν ἐπὶ τὰς κληματίδας, ὦ Μανία,
κἀγώ σ' ἀποδείξω θυμάλωπα τήμερον.

ΚΗΔ. ὕφαπτε καὶ κάταιθε· σὺ δὲ τὸ Κρητικὸν
ἀπόδυθι ταχέως· τοῦ θανάτου δ', ὦ παιδίον,
μόνην γυναικῶν αἰτιῶ τὴν μητέρα.
τουτὶ τί ἐστιν; ἀσκὸς ἐγένεθ' ἡ κόρη
οἴνου πλέως, καὶ ταῦτα Περσικὰς ἔχων.
ὦ θερμόταται γυναῖκες, ὦ ποτίσταται,
κἀκ παντὸς ὑμεῖς μηχανώμεναι πιεῖν,

ADNOTATIO CRITICA.

v. 720 *ἐννυβριεῖς* Reisigius. — *λέξεις τ'* Fritzschius. — v. 721 *ἐπ' ἀθέοις* Engerus (*ἀνοσίους ἀθέοις ἐπ'* Hermannus). — v. 722 *καὶ γὰρ* Hermannus. — v. 724 *δὲ μεταβαλοῦσ'* Fritzschius. — vv. 724 et 725 e coniectura quamvis incerta restitui. — v. 726 *χρῆν* Engerus. — v. 730 *δὲ τὸ* Suidas.

SCRIPTURAE DISCREPANTIA.

v. 720 *ἐννυβριεῖς*] *ἐννυβρίσεις RG* | *λέξεις τ'*] *τε λέξεις RG* ‖ v. 721 *ἐπ' ἀθέοις*] *ἀθέοις RG* | *καὶ γὰρ ἀνταμειψόμεσθά σ'*] *γὰρ ἅντα* | *μειψόμεσθ' ἀσ'* corr. in *γὰρ ἅντα* | *μειψομεσθά σ' R γὰρ ἀνταμειψόμεσθ' ἅσ' G* ‖ v. 723 *δὲ*] *δέ σε RG* ‖ vv. 724 et 725 *ἐφ' ἑτερότροπον ἄτην σ' ἐπέχει τύχη.*] *επὶ* (*ἐπὶ G*) *κακὸν ἑτερότροπον ἐπέχει τίς τύχη· (τύχη G) RG* ‖ v. 726 *ΚΟΡ.*] om. *R* *πρὸς τὰς γυναῖκας* add. R^2, *πρὸς τὰς γυναῖκας* est in *G* | *χρῆν*] *ῥῆν σ' R* corr. in *χρῆν σ'* R^2 *χρὴ μ'* est in *G* ‖ v. 728 *ΓΥ. Α.*] omm. *RG* ‖ v. 729 *κἀγώ*] *καγώ R* | *θυμάλωπα τήμερον*] *θυμάλω πατήμενον G* ‖ v. 730 *ΚΗΔ.*] om. *R* *μνῆ* $\overset{σι}{}$ add. R^2 *μνῆσι* est in *G* | *δὲ*] *τόδε RG* ‖ v. 731 *τοῦ*] *τῶ* ut videtur *R* in ras. corr. in *τοῦ* R^2 ‖ v. 733 *τουτὶ*] *τοῦτὶ R τουτί G* | ante *ἀσκός* spat. trium fere litterarum rel. in *G* | *ἐγένεθ' ἡ*] *ἐγένηθ' ἡ R ἐγενήθη G* ‖ v. 734 *Περσικὰς*] *περκὰς R* corr. superscripto *σι* R^2 ‖ v. 736 *κἀκ*] *κἀκ' R*

ὦ μέγα καπήλοις ἀγαθόν, ἡμῖν δ' αὖ κακόν,
κακὸν δὲ καὶ τοῖς σκευαρίοις καὶ τῇ κρόκῃ.

ΓΥ. *Α.* παράβαλλε πολλὰς κληματίδας, ὦ Μανία.

ΚΗΔ. παράβαλλε δῆτα· σὺ δ' ἀπόκριναί μοι τοδί. 740
τουτὶ τεκεῖν φῄς; ΓΥ. *Α.* καὶ δέκα μῆνας αἴτ' ἐγὼ
ἤνεγκον. ΚΗΔ. ἤνεγκας σύ; ΓΥ. *Α.* νὴ τὴν Ἄρ-
τεμιν.

ΚΗΔ. τρικότυλον, ἢ πῶς; εἰπέ μοι. ΓΥ. *Α.* τί μ' εἰργάσω;
ἀπέδυσας ὠναίσχυντέ μου τὸ παιδίον,
τυννοῦτον ὄν. ΚΗΔ. τυννοῦτο; ΓΥ. *Α.* μικρὸν
νὴ Δία. 745

ΚΗΔ. πόσ' ἔτη δὲ γέγονε; τρεῖς Χόας ἢ τέτταρας;

ΓΥ. *Α.* σχεδὸν τοσοῦτον χῶσον ἐκ Διονυσίων.
ἀλλ' ἀπόδος αὐτό. ΚΗΔ. μὰ τὸν Ἀπόλλω τουτονί.

ADNOTATIO CRITICA.

vv. 740 — 742 inter singulas personas distribuit Bentleius. — v. 741 καὶ adiecit Kusterus. — v. 743 fortasse scribendum est: τρικότυλον ὄν; πῶς; — v. 745 τυννοῦτον et τυννοῦτο Brunckius. — v. 746 γέγονε Brunckius. — χόας Brunckius. — Χόας Blaydesius. — v. 747 χῶσον Bentleius.

SCRIPTURAE DISCREPANTIA.

v. 739 ΓΥ. *Α.*] — *RG* ‖ v. 740 ΚΗΔ.] omm. *RG* | παράβαλλε] corr. ex παραβάλλε *G* | δ'] corr. ex δὲ *G* | ἀπόκριναί] ἀπόκρινέ *R* | τοδί.] τὸδί. *R* τοδὶ *G* ‖ v. 741 φῄς;] φῆς *G* (φῄς *R*) | ΓΥ. *Α.*] omm. *RG* | καὶ] omm. *RG* | μῆνας] μήνας *R* corr. in μῆνας R^2 | αὖτ'] αὐτ' *R* αὖτ' corr. ex αὖτ' *G* | ante αὖτ' spat. trium fere litt. relict. in *G* | ἐγὼ] ἐγὼ· corr. ex ἐγώ· *R* ‖ v. 742 ἤνεγκον] — ἤνεγκον *R* — ἤνεγκον *G* | ΚΗΔ.] : *R* — — deleta priore lineola, quae atramento picta est *G* | σύ;] συ *G* | ΓΥ. *Α.*] : *R* — *G* ‖ v. 743 ΚΗΔ.] — *RG* | ΓΥ. *Α.*] : *R* — *G* ‖ v. 744 ἀπέδυσας] — ἀπέδυσας *RG* | ὦναίσχυντέ] ὦν' αίσχυντέ *R* ὦ' ναίσχυντε *G* ‖ v. 745 τυννοῦτον] τυνοῦτον *R* τηνοῦτον *G* | ΚΗΔ.] : *R* — *G* | τυννοῦτο] τυνοῦτο *R* τηνοῦτο *G* | ΓΥ. *Α.*] : *R* — *G* | νὴ] νη corr. ex νὴ in *R* ‖ v. 746 ΚΗΔ.] — *RG* | πόσ' ἔτη] πόσ' ετη *R* | γέγονε; τρεῖς Χόας] γεγονεν· τρεῖς χοᾶς *R* γέγονεν — τρεῖς χοὰς *G* | τέτταρας] τετταρας *R* corr. in τέτταρας R^2 ‖ v. 747 ΓΥ. *Α.*] omm. *RG* | σχεδὸν] σχεδον *R* corr. in σχεδὸν R^2 | χῶσον] καὶ ὅσον *R* καὶ ὅσον corr. ex καὶ ὅσων ut vid. *G* ‖ v. 748 ΚΗΔ.] : *R* — *G* | Ἀπόλλω] corr. ex ἀπολλῶ *R* | τουτονί.] τουτονὶ *R* τουτυνί *G*

ΓΥ. *Α.* ἐμπρήσομεν τοίνυν σέ. ΚΗΔ. πάνυ γ' ἐμπίμπρατε·
αὕτη δ' ἀποσφαγήσεται μάλ' αὐτίκα.
ΓΥ. *Α.* μὴ δῆθ', ἱκετεύω σ'· ἀλλ' ἔμ' ὅ τι χρῄξεις ποίει
ὑπέρ γε τούτου. ΚΗΔ. φιλότεκνός τις εἶ φύσει.
ἀλλ' οὐδὲν ἧττον ἥδ' ἀποσφαγήσεται.
ΓΥ. *Α.* οἴμοι, τέκνον. δός μοι σφαγεῖον, Μανία,
ἵν' οὖν τό γ' αἷμα τοῦ τέκνου τοὐμοῦ λάβω.
ΚΗΔ. ὕπεχ' αὐτό, χαριοῦμαι γὰρ ἔν γε τοῦτό σοι.
ΓΥ. *Α.* κακῶς ἀπόλοι'· ὡς φθονερὸς εἶ καὶ δυσμενής.
ΚΗΔ. τουτὶ τὸ δέρμα τῆς ἱερείας γίγνεται.
ΓΥ. *Α.* τί τῆς ἱερείας γίγνεται; ΚΗΔ. τουτί· λαβέ.
ΓΥ. *Α.* ταλαντάτη Μίκκα, τίς ἐξεκόρησέ σε;
[τίς τὴν ἀγαπητὴν παῖδά σου ξυρήσατο;
ΓΥ. *Α.* ὁ πανοῦργος οὗτος. ἀλλ' ἐπειδήπερ πάρει,
φύλαξον αὐτόν, ἵνα λαβοῦσα Κλεισθένη

ADNOTATIO CRITICA.

v. 749 *ἐμπίμπρατε* Brunckius. — v. 754 *μοι σφαγεῖον* Tyrwhittus. — v. 759 *τουτί· λαβέ.* Bergkius. — v. 760 primae mulieri dedi; Miccae nomine infantem i. e. utrem vini alloquitur. — *Μίκκα* Lobeckius. — vv. 761—764 uncis seclusi, utpote spurios, v. 761 subditicium esse vidit Lobeckius.

SCRIPTURAE DISCREPANTIA.

v. 749 *ΓΥ. Α.*] omm. *RG* | *ΚΗΔ.*] om. *R* — *G* | *ἐμπίμπρατε*] *εμπιπρᾶται R ἐμπιμπράτε G* ‖ v. 750 *αὕτη*] — *αὕτη RG* ‖ v. 751 *ΓΥ. Α.*] — *R* om. *G* | *δῆθ'*] *δήθ' R* | *ἀλλ'*] — *ἀλλ' G* | *ἔμ'*] *ἐμ' R ἐμ' G* | *χρῄξεις*] *χρήζεις RG* | *ποίει*] *πόει· R πόει G* ‖ v. 752 *ΚΗΔ.*] omm. *RG* | *τις εἶ*] *τις εῖ R εἶ τίς εἶ* deleto priore *εἶ G* ‖ v. 754 *ΓΥ. Α.*] omm. *RG* | *δός*] corr. ex *τὸ δὸς* in *R* | *σφαγεῖον*] *τὸ σφαγείον* corr. ex *τὸ σφαγίον R* corr. in *τὸ σφαγεῖον* R^2 *το σφαγεῖον* est in *G* ‖ v. 756 *ΚΗΔ.*] — *RG* | *αὐτό,*] *αυτὸ R αὐτὸ G* ‖ v. 757 *ΓΥ. Α.*] omm. *RG* | *εἶ*] *εἰ R* | *δυσμενής.*] corr. ex *δυσμενὴς* in *R* ‖ v. 758 *ΚΗΔ.*] — *R* om. *G* | *τουτὶ*] *τουτί G* ‖ v. 759 *ΓΥ. Α.*] omm. *RG* | *ἱερείας*] *ἱερεῖας R* | *ΚΗΔ.*] omm. *RG* | *τουτί· λαβέ.*] *τουτὶ λαβὲ R τουτὶ λαβέ* corr. ex *τουτὶ λάβε G* ‖ v. 760 *ΓΥ. Α.*] — *R ἄλλη γυνὴ* add. R^2 *ἄλλη γυνὴ* est in *G* | primum *α* in *ταλαντάτη·* corr. est ex *ά* in *R* | *Μίκκα*] *μικα R μίκα G* ante *μίκα* trium fere litterarum spat. rel. in *G* | *τίς*] : *τίς R* ante *τίς* spat. trium fere litt. rel. in *G* | *ἐξεκόρησέ*] *ἐξεκόρησέν R ἐξεκόρησε* corr. ex *ἐξεκόρησεν G* ‖ v. 761 *σου ξυρήσατο;*] *σ' ουξῄρήσατο· R σου ξυρήσατο G* ‖ v. 762 *ΓΥ. Α.*] omm. *RG* | *ἐπειδήπερ*] *επειδήπερ R ἐπειδή περ G* ‖ v. 763 *φύλαξον*] corr. ex *φύλασσον G*

τοῖσιν πρυτάνεσιν ἃ πεποίηχ' οὗτος φράσω.]
ΚΗΔ. ἄγε δὴ τίς ἔσται μηχανὴ σωτηρίας;
τίς πεῖρα, τίς ἐπίνοι'; ὁ μὲν γὰρ αἴτιος
κἄμ' εἰσκυλίσας εἰς τοιαυτὶ πράγματα
οὐ φαίνεταί πω. φέρε, τίν' οὖν ἂν ἄγγελον
πέμψαιμ' ἐπ' αὐτόν; οἶδ' ἐγὼ καὶ δὴ πόρον
ἐκ τοῦ Παλαμήδους· ὡς ἐκεῖνος, τὰς πλάτας
ῥίψω γράφων. ἀλλ' οὐ πάρεισιν αἱ πλάται.
πόθεν οὖν γένοιντ' ἄν μοι πλάται; πόθεν; πόθεν;
τί δ' ἄν, εἰ ταδὶ τἀγάλματ' ἀντὶ τῶν πλατῶν
γράφων διαρρίπτοιμι; βέλτιον πολύ.
ξύλον γέ τοι καὶ ταῦτα κἀκεῖν' ἦν ξύλον.
ὦ χεῖρες ἐμαί,
χρή μ' ἐγχειρεῖν ἔργῳ πορίμῳ.
ἄγε δὴ πινάκων ξεστῶν δέλτοι,
δέξασθε σμίλης ὁλκούς,
κήρυκας ἐμῶν μόχθων· οἴμοι,

ADNOTATIO CRITICA.

v. 766 ἐπίνοι' Brunckius. — v. 768 οὐ φαίνεταί πω Dobraeus. — οὖν ἂν Porsonus. — v. 772 in emendando versu Bentleium secutus sum. — v. 773 ταδὶ Suidas. — v. 777 χρή μ' ἐγχειρεῖν e coniectura scripsi.

SCRIPTURAE DISCREPANTIA.

v. 764 πεποίηχ'] πεπόηχ' RG ‖ v. 765 ΚΗΔ.] — R μνη^{σ} add. R^2 μνη^{σί} est in G | δὴ] δή G | ἔσται] έσται R ‖ v. 766 πεῖρα] πείρα R | ἐπίνοι';] ἐπίνοια· R ἐπίνοια G ‖ v. 767 κἄμ'] κάμ' R κἀμ' G | εἰσκυλίσας εἰς] ἐσκυλίσας ἐς RG | τοιαυτὶ] τοιαυτί G ‖ v. 768 φαίνεταί πω] φαίνετ' οὔπω RG | φέρε] corr. ex τί φέρε R | τίν'] τιν' G | ἂν] omm. RG ‖ v. 769 ἐπ' αὐτόν;] επαυτὸν· R ἐπ' αὐτὸν, G | ante οἶδ' spat. trium fere litt. rel. in G | πόρον] πόρον· R πρὸς ὃν G ‖ v. 772 in codd. sic legitur: πόθεν οὖν γένοιτ' ἄν μοι πλάται (πλάτα G) : (sic R, spat. trium fere litterarum rel. in G) πόθεν RG ‖ v. 773 τί] τὶ G | ἄν, εἰ ταδὶ] ἀν εἶτα δια R ἂν εἶτα διὰ (potest esse etiam διά) G | τἀγάλματ'] τ' ἀγάλματ' G ‖ v. 776 ὦ] ευρί^{π} ὦ G | ἐμαί,] ἐμαὶ· R ἐμαὶ G ‖ v. 777 χρή μ' ἐγχειρεῖν] ἐγχειρεῖν χρὴ RG ‖ v. 779 inter σ et θ in δέξασθε deletum est δ R | σμίλης] σμιλης R corr. in σμιλῆς R^2 σμιλῆς est in G | seqq. sic interpunctione in codd. distinguuntur: ὁλκοὺς κήρυκας· (κήρυκας G) ἐμῶν μόχθων οἴμοι RG

τουτὶ τὸ ῥῶ μοχθηρόν·
χώρει, χώρει· ποίαν αὔλακα;
βάσκετ', ἐπείγετε πάσας καθ' ὁδούς,
κείνᾳ, ταύτᾳ· ταχέως χρή.
KOP. ἡμεῖς τοίνυν ἡμᾶς αὐτὰς εὖ λέξωμεν παραβᾶσαι.
καίτοι πᾶς τις τὸ γυναικεῖον φῦλον κακὰ πόλλ' ἀγορεύει,
ὡς πᾶν ἐσμεν κακὸν ἀνθρώποις κἀξ ἡμῶν ἐστιν ἅπαντα,
ἔριδες, νείκη, στάσις ἀργαλέα, λύπη, πόλεμος.
φέρε δή νυν,
εἰ κακόν ἐσμεν, τί γαμεῖθ' ἡμᾶς, εἴπερ ἀληθῶς κακόν ἐσμεν,
κἀπαγορεύετε μήτ' ἐξελθεῖν μήτ' ἐκκύψασαν ἁλῶναι,
ἀλλ' οὑτωσὶ πολλῇ σπουδῇ τὸ κακὸν βούλεσθε φυλάττειν;
κἂν ἐξέλθῃ τὸ γύναιόν ποι, κᾆθ' εὕρητ' αὐτὸ θύρασιν,
μανίας μαίνεσθ', οὓς χρῆν σπένδειν καὶ χαίρειν, εἴπερ ἀληθῶς

ADNOTATIO CRITICA.

v. 784 ταύτᾳ Reiskius. — v. 788 στάσις ἀργαλέα Scaliger. — v. 790 ἐκκύψασαν Reiskius. — v. 792 εὕρητ' Porsonus. — v. 793 χρῆν Brunckius.

SCRIPTURAE DISCREPANTIA.

v. 781 μοχθηρόν·] corr. ex μοχθηρὸν· in *R* μοχθηρὸν est in *G* ‖ v. 782 χώρει, χώρει·] χώρει· χώρει· *R* χώρει χώρει *G* | αὔλακα;] αὔλακα *RG* ‖ v. 783 καθ' ὁδούς] καθόδους *RG* ‖ v. 784 κείνᾳ] κείνα *G* | ταύτᾳ·] ταῦτα *RG* | χρή.] χρή: *R* χρὴ *G* ‖ v. 785 KOP.] om. *R* add. χορ *R*^{2} χορ̊ est in *G* ‖ v. 786 πᾶς] πάς *R* | τις] τίς *G* | φῦλον] φύλον *R* ‖ v. 787 κἀξ] κ' ἀξ *R* | ἐστιν] ἔστιν *G* | v. 788 inter ρ et ι littera erasa est (ε ut videtur) in ἔριδες *R* | στάσις ἀργαλέα] στάσεις· ἀργαλέα· *R* στάσεις, ἀργαλέα *G* | δή νυν] δὴ νῦν *RG* ‖ v. 789 εἰ] εἰ καὶ *RG* | κακόν ἐσμεν] κακὸν ἐσμὲν *RG* | τί] τὶ *G* | γαμεῖθ'] γαμεῖσθ' *G* | κακόν ἐσμεν,] κακὸν ἐσμεν· *R* κακὸν ἐσμὲν *G* ‖ v. 790 κἀπαγορεύετε μήτ'] κ' ἀπαγορεύετε μὴτ' *R* | ἐκκύψασαν] ἐγκύψασαν *RG* ‖ v. 791 οὑτωσὶ] οὑτωσί *G* ‖ v. 792 κἂν] κ' ἂν *R* | ἐξέλθῃ] ἐξέλθῃ corr. ex ἐξέλθοι *R* ἐξέλθοι *G* | κᾆθ'] κἄθ' *RG* | εὕρητ'] εὕροιτ' *RG* ‖ v. 793 μαίνεσθ'] μαίνεθ' *R* | χρῆν] χρὴ *RG*

ἔνδοθεν ηὕρετε φροῦδον τὸ κακὸν καὶ μὴ κατε-
λαμβάνετ' ἔνδον.
κἄν καταδαρθῶμεν ἐν ἀλλοτρίων παῖζουσαι καὶ
κοπιῶσαι,
πᾶς τις τὸ κακὸν τοῦτο ζητεῖ περὶ τὰς κλίνας περι-
νοστῶν.
κἄν ἐκ θυρίδος παρακύπτωμεν, τὸ κακὸν ζητεῖτε
θεᾶσθαι·
κἄν αἰσχυνθεῖσ' ἀναχωρήσῃ, πολὺ μᾶλλον πᾶς
ἐπιθυμεῖ
αὖθις τὸ κακὸν παρακῦψαν ἰδεῖν. οὕτως ἡμεῖς
ἐπιδήλως
ὑμῶν ἐσμεν πολὺ βελτίους· βάσανός τε πάρεστιν
ἰδέσθαι.
βάσανον δῶμεν, πότεροι χείρους. ἡμεῖς μὲν γάρ
φαμεν ὑμᾶς,
ὑμεῖς δ' ἡμᾶς. σκεψώμεθα δὴ κἀντιτιθῶμεν πρὸς
ἕκαστον

ADNOTATIO CRITICA.

v. 794 *ηὕρετε* Meinekius. — v. 796 *κλῖναι* vocabulum hoc loco aedes significare videtur, in quibus dormiebant mulieres solemnia illa agentes. — v. 797 *τὸ κακὸν ζητεῖτε θεᾶσθαι* J. Kaye apud Dobraeum. — v. 799 *παρακῦψαν* Dindorfius (*παρακύψαν* Kusterus). — verba *τὸ κακὸν παρακῦψαν ἰδεῖν* transposuit Porsonus. — v. 801 *γάρ φαμεν* Bekkerus.

SCRIPTURAE DISCREPANTIA.

v. 794 *ηὕρετε*] *εὕρετε RG* | *κατελαμβάνετ'*] *καταλαμβάνετ' RG* | versus sic interpunctione distinguitur: *ἔνδοθεν εὕρετε· φροῦδον τὸ κακὸν· καὶ μη* (sic) *καταλαμβάνετ' ἔνδον· R* ‖ v. 795 *κἄν*] *κ' ἄν R* ‖ v. 796 *τις*] *τίς G* | *περινοστῶν*] ras. corr. ex *περὶ νοστῶν R* ‖ v. 797 *κἄν*] *κ' ἄν R* | *τὸ κακὸν ζητεῖτε θεᾶσθαι*] *ζητεῖ τὸ κακὸν τεθεᾶσθαι RG* sed in *G* punctum est supra *τε*, quo, ut videtur, *τε* delendum esse significavit librarius ‖ v. 798 *κἄν*] *κ' ἄν R* | *αἰσχυνθεῖσ'*] *αἰσχυνθεὶσ* corr. ex *αἰσχυνθῆσ R αἰσχυνθεὶσ* est in *G* | *ἀναχωρήσῃ*,] *ἀναχωρήσῃ* corr. ex *ἀναχώρησῃ G* (*ἀναχωρήσῃ· R*) ‖ v. 799 *τὸ κακὸν παρακῦψαν ἰδεῖν.*] *παρακύψασαν ἰδεῖν τὸ κακον· R παρακύψασαν ἰδεῖν τὸ κακὸν G* ‖ v. 800 *ἐσμεν*] *ἐσμὲν RG* ‖ v. 801 *γάρ φαμεν*] *γὰρ φαμὲν RG* ‖ v. 802 *ὑμεῖς*] corr. ex *ἡμεῖς G* | *ἡμᾶς*] *ὑμᾶς R* | *σκεψώμεθα*] *σκεψώμεσθα R* | *κἀντιτιθῶμεν*] alterum *τ* in rasura est *R κἀντιθῶμεν G*

παραβάλλουσαι τῆς τε γυναικὸς καὶ τἀνδρὸς τοὔνομ' ἑκάστου.
Ναυσιμάχης μέν γ' ἥττων ἐστὶν Χαρμῖνος· δῆλα δὲ τἄργα.
καὶ μὲν δὴ καὶ Κλεοφῶν χείρων πάντως δήπου Σαλαβακχοῦς.
πρὸς Ἀριστομάχην δὲ χρόνου πολλοῦ, πρὸς ἐκείνην τὴν Μαραθῶνι,
καὶ Στρατονίκην ὑμῶν οὐδεὶς οὐδ' ἐγχειρεῖ πολεμίζειν.
ἀλλ' Εὐβούλης τῶν πέρυσίν τις βουλευτής ἐστιν ἀμείνων,
παραδοὺς ἑτέρῳ τὴν βουλείαν; οὐδ' αὐτὸς τοῦτό γε φήσεις.
οὕτως ἡμεῖς πολὺ βελτίους τῶν ἀνδρῶν εὐχόμεθ' εἶναι.
οὐδ' ἂν κλέψασα γυνὴ ζεύγει κατὰ πεντήκοντα τάλαντα
εἰς πόλιν ἔλθοι τῶν δημοσίων· ἀλλ' ἢν τὰ μέγισθ' ὑφέληται,

ADNOTATIO CRITICA.

v. 803 *ἑκάστου* editio Brubachiana. — v. 804 *μέν γ'* Dobraeus. — v. 809 *φήσεις* voce chorus unumquemque ex spectatoribus alloquitur. Kusteri *φήσει* a plerisque editoribus probatum ad indefinitum *τις* apte referri non potest.

SCRIPTURAE DISCREPANTIA.

v. 803 *παραβάλλουσαι*] *παρὰ βάλλουσαι R* | *τἀνδρὸς*] *τ' ἀνδρὸς R* | *τοὔνομ'*] *τοῦ 'νομ' R* | *ἑκάστου*] *ἕκαστος RG* ‖ v. 804 *Ναυσιμάχης*] *ναῦσ μάχησ R* corr. R^2 | *μέν γ'*] *μὲν RG* | *ἐστὶν*] *ἐστὶ RG* | *δῆλα δὲ*] *δηλαδῆ R δηλαδὴ G* | *τἄργα*] in *τ' ἄργα* in *R γα* in ras. scripsit R^2, quae etiam accentum super *ἄ* adiecit ‖ v. 805 *χείρων*] *χεῖρον RG* | *Σαλαβακχοῦς*] *σαλλαβακχοῦς R* altero *λ* expuncto corr. R^2 ‖ v. 806 *πρὸς*] *προς R* corr. in *πρὸς* R^2 | *πρὸς ἐκείνην*] *προσεκείνην R* ‖ v. 807 *Στρατονίκην*] *στρατωνίκην RG* | *οὐδεὶς*] *οὐδεῖς R οὐδεὶς* in textu omissum in margine adiecit *G* | *ἐγχειρεῖ*] *εγχειρει R* corr. in *εγχειρεῖ* R^2 ‖ v. 808 *πέρυσίν*] *πέρυσιν R πέρυσι G* | *τις*] *τίς RG* | *βουλευτής ἐστιν*] *βουλευτὴς ἐστὶν R βουλευτὴς ἐστὶν G* ‖ v. 809 *αὐτὸς*] *αὐτός G* ‖ v. 810 *εὐχόμεθ'*] *εὐχόμεσθ' R* ‖ v. 812 *εἰς*] *ἐς RG* | *ἢν*] *ἣν R* | *μέγισθ'*] *μέγιστα R μέγιστ' G*

δώσει τε δίκην, καὶ πρὸς τούτῳ
τοῖς ἄλλοις ἀνδράσιν ἔσται
παράδειγμ' ὕβρεως ἀδίκων τ' ἔργων,
ἀθέων τε τρόπων·
φήσει δ' εἶναί τε θεοὺς φανερῶς,
δείξει τ' ἤδη
πᾶσιν ἀνθρώποις σεβίζειν δαιμόνων δίκην ἀεί,
ὥστ' ἐφέπειν ὄντως ὅσια καὶ νόμιμα
μηδομένους ποιεῖν ὅ τι καλῶς ἔχει.
κἂν μὴ ποιῶσι ταῦτα, τοιάδ' ἔσται·
αὐτῶν ὅταν ληφθῇ τις ἀνόσιόν τι δρῶν,
ἢ μανίαις φλέγων, λύσσῃ παράκοπος,
εἰ δρῴη τί πως,
πᾶσιν ἐμφανὴς ὁρᾶν ἔσται γυναιξὶ καὶ βροτοῖσιν,
ὅτι τά τε παράνομα τά τ' ἀνόσια παραυ-
τὰ τίνεται θεός.
ΚΟΡ. ἀλλ' ἔοιχ' ἡμῖν ἅπαντά πως διεσκέφθαι καλῶς.

ADNOTATIO CRITICA.

v. 669 *ἀνδράσιν ἔσται* Bergkius. — v. 674 *δαιμόνων δίκην ἀεί*, e coniectura scripsi. — v. 675 *ὥστ' ἐφέπειν ὄντως* Fritzschius. — v. 679 *ἀνόσιόν τι δρῶν* Hermannus. — v. 680 in *ἢ μανίαις* e coniectura adieci *ἢ* vocabulum. — v. 681 *εἰ δρῴη τί πως* e coniectura scripsi. — v. 683 *ἔσται* Reisigius. — *γυναιξὶ* Brunckius. — *βροτοῖσιν* Engerus. — vv. 684 et 685 emendavit Hermannus. — v. 686 nescio, an pro *ἅπαντά πως* scribendum sit: *ἅπαντ' ἤδη*.

SCRIPTURAE DISCREPANTIA.

v. 669 *τοῖς ἄλλοις*] corr. ex *τοῖς ἅπ ἄλλοις G* | *ἀνδράσιν ἔσται*] *ἅπασιν ἔσται* corr. ex *ἅπασιν ἅπασιν ἔσται R ἅπασιν ἔσται* est in *G* ‖ v. 671 *ἀθέων*] corr. ex *ἀθεῶν R* | *τρόπων*] corr. ex *τρωόπων R* ‖ v. 672 *εἶναί τε*] *εἶναί τε· R εἶναι τε G* ‖ v. 674 *σεβίζειν δαιμόνων δίκην ἀεί,*] *σεβίζειν δαίμονας· R σεβίζειν δαίμονας G* ‖ v. 675 *ὥστ' ἐφέπειν ὄντως*] *δικαίως τ' ἐφέποντας* (*ἐφέποντας R*) *RG* ‖ v. 677 *ὅ τι*] *ὅ,τι G* ‖ v. 678 *κἂν*] *κἀν R* | *ἔσται*] *εσται R* ‖ v. 679 *ὅταν*] *ὅτ ἂν R* | *τις*] *τίς R* | *ἀνόσιόν τι δρῶν,*] *ὅσια δρῶν RG* ‖ v. 680 *ἢ μανίαις*] *μανίαις RG* | *λύσσῃ*] *λύσση RG* ‖ v. 681 *εἰ δρῴη τί πως,*] *εἴ τι δρῴη R εἴ τι δρώη G* ‖ v. 683 *ἔσται*] *ἐστὶν R* corr. in *ἐστίν R*^{2} *ἔστιν G* | *γυναιξὶ*] *γυναιξὶν R γυναιξίν G* | *βροτοῖσιν,*] *βροτοῖς RG* ‖ vv. 684 et 685 in codd. ita leguntur: *ὅτι τὰ παράνομα τά τ' ἀνόσια θεὸς* | *ἀποτίνεται·* (*ἀποτίνεται G*) | *παραχρῆμά* (*παραχρῆμα G*) *τε τίνεται·* (*τίνεται G*) *RG* ‖ v. 686 *ΚΟΡ.*] omm. *RG* | *πως*] *πῶς G*

ταξίαρχον ἢ στρατηγόν, λαμβάνειν τιμήν τινα,
προεδρίαν τ' αὐτῇ δίδοσθαι Στηνίοισι καὶ Σκίροις
ἔν τε ταῖς ἄλλαις ἑορταῖς αἷσιν ἡμεῖς ἤγομεν.
εἰ δὲ δειλὸν καὶ πονηρὸν ἄνδρα τις τέκοι γυνή,
ἢ τριήραρχον πονηρόν, ἢ κυβερνήτην κακόν,
ὑστέραν αὐτὴν καθῆσθαι, σκάφιον ἀποκεκαρμένην,
τῆς τὸν ἀνδρεῖον τεκούσης. τῷ γὰρ εἰκός, ὦ πόλις,
τὴν Ὑπερβόλου καθῆσθαι μητέρ' ἠμφιεσμένην
λευκὰ καὶ κόμας καθεῖσαν πλησίον τῆς Λαμάχου,
καὶ δανείζειν χρήμαθ', ἧ χρῆν, εἰ δανείσειέν τινι
καὶ τόκον πράττοιτο, διδόναι μηδέν' ἀνθρώπων
τόκον,
ἀλλ' ἀφαιρεῖσθαι βίᾳ τὰ χρήματ', εἰπόντας τοδί·
ἀξία γὰρ εἶ τόκου, τεκοῦσα τοιοῦτον τόκον;
ΚΗΔ. ἰλλὸς γεγένημαι προσδοκῶν· ὁ δ' οὐδέπω.
τί δῆτ' ἂν εἴη τοὐμποδών; οὐκ ἔσθ' ὅπως

ADNOTATIO CRITICA.

vv. 833 et 837 genuini sunt, quos frustra Hamakerum secuti exagitarunt recentiores editores. v. 837 alludit poeta ad Charmini cladem navalem cfr. v. 804 et Thucyd. VIII, 42. — v. 834 *Στηνίοισι* scholiasta. — v. 836 *εἰ* Porsonus. — v. 842 *χρήμαθ'*, *ἧ* Bentleius. — *εἰ* Brunckius. — v. 845 *γὰρ* e coniectura scripsi.

SCRIPTURAE DISCREPANTIA.

v. 833 *στρατηγόν,*] *στρατηγὸν·* corr. ex *στρατηγόν· R στρατηγὸν* est in *G* | *λαμβάνειν*] *λαμβάνει R* corr. in *λαμβάνειν* R^2 | *τινα*] corr. ex *ποτε R* ‖ v. 834 *τ' αὐτῇ*] *τ' αυτῇ R* | *Στηνίοισι*] *τηνίοισι·* corr. ex *τήνιοισι· R τηνίοισι* est in *G* ‖ v. 835 *ἔν*] *ἐν G* | *αἷσιν*] acc. et spir. in ras. add. R^2 ‖ *ἤγομεν*] *ἤγομεν R* ‖ v. 836 *εἰ*] *ἢν* corr. ex *ἦν R ἤν* est in *G* | *ἄνδρα τις*] *ἄνδρά τις RG* ‖ v. 838 *ὑστέραν*] *ὕστερον R* corr. R^2 ‖ v. 839 *πόλις*] *πόλεις RG* | v. 842 *χρήμαθ', ἧ*] *χρήματ' ἢν R χρήματα χρήματ' ἢν* deleto *χρήματα* lineola traducta *G* | *εἰ*] *ἢν R ἤν G* | *δανείσειέν*] *δανείσειέ R δανεισειέ G* ‖ v. 843 *πράττοιτο*] corr. ex *πράγττοιτο R* | *μηδέν'*] *μὴδέν' R* ‖ v. 844 *ἀφαιρεῖσθαι*] *ἀφερεῖσθαι R* | *τὰ χρήματ'*] *τὰ* (corr. ex *τα* R^2) *χρήματατ' RG* | *τοδί·*] *τὸδὶ* corr. ex *τὰδὶ R τοδὶ* est in *G* ‖ v. 845 *ἀξία*] *ἄξια R* corr. in *ἀξία* R^2 | *γὰρ*] *γοῦν RG* | *εἶ*] *εἰ R* | *τεκοῦσα*] *τεκοῦ R* superscripto *σα* corr. R^2 | *τόκον;*] *τόκον· R τόκον G* ‖ v. 846 *ΚΗΔ.*] om. *R* *μνᾶ* add. R^2 — atramento et *μνᾶί* minio pictum est in *G* | *ὁ δ'*] *ὅδ' RG* ‖ v. 847 *τί*] *τι G* | *τοὐμποδών;*] *τ' οὐμποδῶν R τοὐμποδῶν G* | *ἔσθ'*] *ἐσθ' R ἐσθ' G*

οὐ τὸν Παλαμήδην ψυχρὸν ὄντ' αἰσχύνεται.
τῷ δῆτ' ἂν αὐτὸν προσαγαγοίμην δράματι;
ἐγῷδα· τὴν καινὴν Ἑλένην μιμήσομαι.
πάντως δ' ὑπάρχει μοι γυναικεία στολή.
ΓΥ. Γ. τί αὖ σὺ κυκανᾷς, καὶ τί κοικύλλεις ἔχων;
πικρὰν Ἑλένην ὄψει τάχ', εἰ μή κοσμίως
ἔξεις, ἕως ἂν τῶν πρυτάνεών τις φανῇ.
ΚΗΔ. Νείλου μὲν αἵδε καλλιπάρθενοι ῥοαί,
ὃς ἀντὶ δίας ψακάδος Αἰγύπτου πέδον
λευκῆς νοτίζει μελανοσυρμαῖον λεών.
ΓΥ. Γ. πανοῦργος εἶ νὴ τὴν Ἑκάτην τὴν φωσφόρον.
ΚΗΔ. ἐμοὶ δὲ γῆ μὲν πατρὶς οὐκ ἀνώνυμος,
Σπάρτη, πατὴρ δὲ Τυνδάρεως. ΓΥ. Γ. σοί γ', ὦ λεθρε,
πατὴρ ἐκεῖνός ἐστι; Φρυνώνδας μὲν οὖν.
ΚΗΔ. Ἑλένη δ' ἐκλήθην. ΓΥ. Γ. αὖθις αὖ γίγνει γυνή,

ADNOTATIO CRITICA.

v. 851 δ' inseruit Bentleius. — v. 852 κυκανᾷς Kusterus. — καὶ Suidas (etsi duo codices Suidae et ipsi habent ᾗ). — v. 853 Ἑλένην Iuntina. — v. 857 fortasse scribendum est: μελανοσυρμαίῳ λεῷ. — v. 862 γίγνει Brunckius.

SCRIPTURAE DISCREPANTIA.

v. 849 ἄν] ἂν *R* ‖ v. 850 ἐγῷδα·] ἐγῷδα *R* ἐγ' ᾠδα *G* ‖ v. 851 δ'] omm. *RG* | γυναικεία] γυναικεῖα *RG* ‖ v. 852 ΓΥ. Γ.] — *R* γ' add. R^2 γυνὴ est in *G* | τί] τι *G* | αὖ] αῦ *R* corr. in αὖ R^2 | κυκανᾷς] κυρκανᾷς *RG* | καὶ] ᾗ *R* ᾗ, *G* ‖ v. 853 Ἑλένην] ἑλένη *RG* (Falso locis nonnullis script. discrepantiae principia nominum grandioribus, quae in ipsis codicibus non insunt, litteris sunt exhibita.) ‖ v. 854 πρυτάνεών τις] πρυτάνεων τίς *R* πρυτάνεων τις *G* ‖ v. 855 ΚΗΔ.] — *R* μνῆ add. R^2 μνησί est in *G* | Νείλου μὲν] νειλου δ μὲν sed deletum est δ *R* | αἵδε] αἶδε *R* ‖ v. 856 ὃς ἀντὶ δίας] ὅσ' ἀντιδίας *R* | ψακάδος] ψακάδος *G* ‖ v. 857 μελανοσυρμαῖον] mut. in μέλανο συρμαῖον R^2 | λεών] λεῶν *R* ‖ v. 858 ΓΥ. Γ.] — *RG* | εἶ] εἰ *R* | νὴ τὴν] τ νὴ τὴν deleto priore τ inter scribendum *G* ‖ v. 859 ΚΗΔ.] — *RG* ‖ v. 860 ΓΥ. Γ.] : *R* — *G* | σοί γ'] σί τ' ut videtur *R* correctum in σύ τ' ab alia manu aut R^2 aut Euphrosyni Bonini σύ τ' *G* | ὦλεθρε] ὠλεθρε *R* ὤλεθρε *G* ‖ v. 861 ἐστι] ἐστιν *R* ἐστι *G* | Φρυνώνδας μὲν οὖν] φρυνῶνδασ μενοῦν *R* corr. in φρυνῶνδασ μὲν οὖν R^2 φρυνῶν δασμὲν οὖν *G* ‖ v. 862 ΚΗΔ.] om. *R* — *G* | ΓΥ. Γ.] : *R* — *G* | αὖ] αὐ *R* | γίγνει] γίγνη *RG*

πρὶν τῆς ἑτέρας δοῦναι γυναικίσεως δίκην;
ΚΗΔ. ψυχαὶ δὲ πολλαὶ δι' ἔμ' ἐπὶ Σκαμανδρίαις
ῥοαῖσιν ἔθανον. ΓΥ. Γ. ὤφελες δὲ καὶ σύ γε.
ΚΗΔ. κἀγὼ μὲν ἐνθάδ' εἰμ'· ὁ δ' ἄθλιος πόσις
οὑμὸς Μενέλαος οὐδέπω προσέρχεται.
τί οὖν ἔτι ζῶ; ΓΥ. Γ. τῶν κοράκων πονηρίᾳ.
ΚΗΔ. ἀλλ' ὥσπερ αἰκάλλει τι καρδίαν ἐμήν,
μὴ ψεῦσον, ὦ Ζεῦ, τῆς ἐπιούσης ἐλπίδος.
ΕΥΡ. τίς τῶνδ' ἐρυμνῶν δωμάτων ἔχει κράτος,
ὅστις ξένους δέξαιτο ποντίῳ σάλῳ
καμόντας ἐν χειμῶνι καὶ ναναγίαις;
ΚΗΔ. Πρωτέως τάδ' ἐστὶ μέλαθρα. ΓΥ. Γ. ποίου Πρωτέως;
ὦ τρισκακόδαιμον· ψεύδεται νὴ τὼ θεώ,
ἐπεὶ τέθνηκε Πρωτέας ἔτη δέκα.
ΕΥΡ. ποίαν δὲ χώραν εἰσεκέλσαμεν σκάφει;

ADNOTATIO CRITICA.

v. 867 *Μενέλαος* codicum hoc loco et vv. 901 et 910 servandum est, cum Euripides, qui ridetur, et ipse in Helena et *Μενέλαος* et *Μενέλεως* dixerit, cfr. Helenae vv. 1196 et 1215, 1003 et 1031. — v. 868 *τῶν κοράκων πονηρίᾳ.* verba Bentleius cum scholiasta mulieri tribuit. — vv. 869 et 870 fortasse praestat, ut cum Meinekio et Dindorfio puncto post *ἐμήν* posito sententiam terminemus. Sed ita v. 870 scribendum esse videtur: *μ' ἐλπίδος.* — v. 872 *ξένους* Bentleius. — v. 873 *καμόντας* Lentingius. — v. 874 *ποίου Πρωτέως* verba mulieri tribuenda esse vidit Bentleius.

SCRIPTURAE DISCREPANTIA.

v. 863 *πρὶν*] *πρίν G* ‖ v. 864 *ΚΗΔ.*] om. *R* — add. R^2 — est in *G* | *ἔμ'*] *ἐμ R ἐμ' G* ‖ v. 865 *ΓΥ. Γ.*] : *R* — *G* ‖ v. 866 *ΚΗΔ.*] — *RG* | *κἀγὼ*] *καγὼ R* | *εἰμ'*] *εἰμ' RG* | *ὁ δ'*] *ο δ' R* ‖ v. 867 *οὑμὸς*] *ὀυμὸς R ὁὐμὸς G* ‖ v. 868 *ΓΥ. Γ.*] omm. *RG* ‖ v. 869 *ΚΗΔ.*] omm. *RG* | *τι*] *τί RG* | *ἐμήν,*] *ἐμήν· R εμὴν G* ‖ v. 871 *ΕΥΡ.*] om. *R εὐρ̄ι* add. R^2 | *τῶνδ'*] *τῶντδ'* sed deleto altero *τ* ante *δ'* inter scribendum *G* ‖ v. 872 *ξένους*] *ξένος RG* ‖ v. 873 *καμόντας*] *κάμνοντας RG* ‖ v. 874 *ΚΗΔ.*] — *RG* | *ἐστὶ*] *εστι R* | *ΓΥ. Γ.*] — *RG* | *ποίου*] *πόσου* ut videtur *R* eraso *σ* correxit in *ποίοῦ* R^2 | — *ποίου πρωτέως·* verba unum versum explent in *R* ‖ v. 875 *ὦ*] — *ὦ RG* | *θεώ,*] *θεὼ·* corr. ex *θεώ· R θεὼ* est in *G* ‖ v. 876 *δέκα*] *δεκα R* ‖ v. 877 *ΕΥΡ.*] — *R εὐρ̄ι* add. R^2 | *ποίαν*] *ποῖαν R* corr. in *ποίαν* R^2

ΚΗΔ. *Αἴγυπτον.* *ΕΥΡ.* *ὦ δύστηνος, οἷ πεπλώκαμεν.*
ΓΥ. Γ. *πείθει τι τούτῳ τῷ κακῶς ἀπολουμένῳ*
ληροῦντι λῆρον; Θεσμοφορεῖον τουτογί.
ΕΥΡ. *αὐτὸς δὲ Πρωτεὺς ἔνδον ἔστ', ἢ 'ξώπιος;*
ΓΥ. Γ. *οὐκ ἔσθ' ὅπως οὐ ναυτιᾷς ἔτ', ὦ ξένε,*
ὅστις γ' ἀκούσας ὅτι τέθνηκε Πρωτέας
ἔπειτ' ἐρωτᾷς, ἔνδον ἔστ', ἢ 'ξώπιος;
ΕΥΡ. *αἰαῖ, τέθνηκε; ποῦ δ' ἐτυμβεύθη τάφῳ;*
ΚΗΔ. *τόδ' ἐστὶν αὐτοῦ σῆμ', ἐφ' ᾧ καθήμεθα.*
ΓΥ. Γ. *κακὸς κακῶς τἄρ' ἐξόλοιο κἀξολεῖ,*
ὅστις γε τολμᾷς σῆμα τὸν βωμὸν καλεῖν.
ΕΥΡ. *τί δὴ σὺ θάσσεις τάσδε τυμβήρεις ἕδρας*
φάρει καλυπτός, ὦ ξένη; *ΚΗΔ.* *βιάζομαι*
γάμοισι Πρωτέως παιδὶ συμμῖξαι λέχος.
ΓΥ. Γ. *τί, ὦ κακόδαιμον, ἐξαπατᾷς αὖ τὸν ξένον;*

ADNOTATIO CRITICA.

v. 879 *τούτῳ* editio Brubachiana. — v. 880 *Θεσμοφορεῖον* Meinekius. — v. 883 *ὅστις γ'* Scaliger. — v. 885 *τέθνηκε;* Blaydesius. — v. 887 *κακὸς κακῶς τἄρ'* scripsi Meinekium secutus, nisi quod ille habet *κακὴ κακῶς.* — v. 889 *δὴ* Bentleius.

SCRIPTURAE DISCREPANTIA.

v. 878 *ΚΗΔ.*] — *R* *μνῆ* add. R^2 *μνῆσί* *G* | *ΕΥΡ.*] om. *R* — *G* | *οἷ*] *οἱ* *R* ‖ v. 879 *ΓΥ. Γ.*] — *R* *γὺ* add. R^2 *γυνὴ* *G* | *τι*] *τί* *R* | *τούτῳ*] omm. *RG* ‖ v. 880 *Θεσμοφορεῖον*] *θεσμοφόριον* *RG* | *τουτογί.*] *τουτονί* *G* ‖ v. 881 *ΕΥΡ.*] om. *R* — add. R^2 — est in *G* | *ἔστ', ἢ 'ξώπιος;*] *ἔστ' ἠξώπιος* *R* *εστ' ἢ 'ξώπιος* (hoc correctum ex *'ξωπίος*) *G* ‖ v. 882 *ΓΥ. Γ.*] om. *R* *γὺ* add. R^2 *γὺ* *G* | *ἔσθ'*] *ἐσθ'* *R* | *ναυτιᾷς*] *ναυτιᾶις* corr. ex *ναυτίαις* in *R* *ναυτιᾶς* *G* | *ἔτ',*] *ἔτ* *R* ‖ v. 883 *ὅστις γ'*] *ὅστις* *RG* ‖ v. 884 *ἢ 'ξώπιος*] *ἠξώπιος* *RG* ‖ v. 885 *ΕΥΡ.*] — *R* *εὐρῖ* add. R^2 | *αἰαῖ,*] *αἰαὶ·* *R* *αἳ αἳ* *G* | *τέθνηκε;*] *τέθνηκεν.* *R* *τέθνηκεν* *G* | *δ' ἐτυμβεύθη*] *δὲ τυμβεύθη* *G* ‖ v. 886 *ΚΗΔ.*] om. *R* *μνῆ* add. R^2 *μνῆσί* *G* | *τόδ'*] *τό δ'* *G* | *ἐστὶν*] *εστιν* *R* ‖ v. 887 *ΓΥ. Γ.*] omm. *RG* | *κακὸς κακῶς τἄρ'*] *κακῶς τ' ἄρ'* *RG* | *κἀξολεῖ,*] *κἀξολεῖ γέ τοι·* *R* *κἀξολεῖ γέ τοι* *G* ‖ v. 889 *ΕΥΡ.*] — *R* *εὐρῖ* add. R^2 | *δὴ*] *δε* *R* *δὲ* *G* | *τάδε*] *τάς δε* *G* ‖ v. 890 *ΚΗΔ.*] : *R* om. spatio rel. *G* ‖ v. 891 *συμμῖξαι*] *συμμίξαι* *RG* ‖ v. 892 *ΓΥ. Γ.*] — *R* *γὺ* add. R^2 *γυνῆ* *G* | *αὖ τὸν*] *αὐτὸν* *R* corr. in *αὖτὸν* R^2 *αὐτὸν* *G*

οὗτος πανουργῶν δεῦρ' ἀνῆλθεν, ὦ ξένε,
ὡς τὰς γυναῖκας ἐπὶ κλοπῇ τοῦ χρυσίου.
ΚΗΔ. βάϋζε, τουμὸν σῶμα βάλλουσα ψόγῳ.
ΕΥΡ. ξένη, τίς ἡ γραῦς ἡ κακορροθοῦσά σε;
ΚΗΔ. αὕτη Θεονόη Πρωτέως. ΓΥ. Γ. μὰ τὼ θεώ,
εἰ μὴ Κρίτυλλά γ' Ἀντιθέου Γαργηττόθεν·
σὺ δ' εἶ πανοῦργος. ΚΗΔ. ὁπόσα τοι βούλει, λέγε.
οὐ γὰρ γαμοῦμαι σῷ κασιγνήτῳ ποτέ,
προδοῦσα Μενέλαον τὸν ἐν Τροίᾳ πόσιν.
ΕΥΡ. γύναι, τί εἶπας; στρέψον ἀνταυγεῖς κόρας.
ΚΗΔ. αἰσχύνομαί σε τὰς γνάθους ὑβρισμένη.
ΕΥΡ. τουτὶ τί ἔστιν; ἀφασία τίς τοί μ' ἔχει.
ὦ θεοί, τίν' ὄψιν εἰσορῶ; τίς εἶ, γύναι;
ΚΗΔ. σὺ δ' εἶ τίς; αὐτὸς γὰρ σὲ κἄμ' ἔχει λόγος.
ΕΥΡ. Ἑλληνὶς εἶ τις ἢ βαρβάρων γυνή;
ΚΗΔ. Ἑλληνίς. ἀλλὰ καὶ τὸ σὸν θέλω μαθεῖν.

ADNOTATIO CRITICA.

v. 895 coniecerim scribendum esse *τουμὸν βαΰζεις σῶμα β. ψ.* (erat in archetypo: $^{\beta}$*βαΰζεις*$^{\alpha}$ *τουμὸν σῶμα β. ψ.*). — v. 898 *Κρίτυλλά γ'* Elmsleius. — v. 901 *ἐμὸν* delevit Hermannus. — v. 906 *αὐτὸς* Valckenarius.

SCRIPTURAE DISCREPANTIA.

v. 893 *ξένε,*] *ξενε· R* corr. in *ξένε· R*^{2} ‖ v. 895 *ΚΗΔ.*] — *R* *μνῆ* add. *R*^{2} *μνῆσί G* | *βάΰζε,*] *βαΰζα R βάϋζα G* ‖ v. 896 *ΕΥΡ.*] — *R* *εὑρεῖν* add. *R*^{2} | *κακορροθοῦσά*] *κακορροθουσά R* corr. in *κακορροθοῦσά R*^{2} *κακορρροθοῦσα G* ‖ v. 897 *ΚΗΔ.*] — *RG* | *αὕτη*] *αὕτη· R* | *ΓΥ. Γ.*] omm. *RG* ‖ v. 898 *εἰ μὴ*] — *εἰ μη R* — *εἰμὶ G* | *Κρίτυλλά γ'*] *κριτύλλά γ' R κριτύλλα γ' G* | *Ἀντιθέου Γαργηττόθεν·*] *αντιθεου γαρ* (corr. ex *γὰρ*) *γηττόθεν R* ‖ v. 899 *εἶ*] *εῖ R* | *ΚΗΔ.*] : *R* — *G* ‖ v. 901 *τὸν ἐν*] *τὸν ἐμὸν ἐν R ἐμὸν ἐν G* ‖ v. 902 *ΕΥΡ.*] — *R* *εὑρεῖν* add. *R*^{2} | *εἶπας;*] *εἶπας· R* | *ἀνταυγεῖς*] corr. ex *ἀνταὐγεῖς R* ‖ v. 903 *ΚΗΔ.*] — *RG* ‖ v. 904 *ΕΥΡ.*] — *RG* | *τουτὶ*] *τουτὶ· R τουτί G* | *ἔστιν;*] *εστιν·* corr. ex *εστὶν· R ἐστὶν G* | *τοί*] *τοι G* ‖ v. 905 *εἶ,*] *εῖ R* corr. in *εἶ R*^{2} *εἶ G* ‖ v. 906 *ΚΗΔ.*] — *RG* | *εἶ τίς;*] *εῖ τίς· R εἶ τις, G* | *αὐτὸς γὰρ σὲ κἄμ'*] *αὐτὸς γάρ σε κάμ' R αὐτὸς γάρ σε κἀμ' G* ‖ v. 907 *ΕΥΡ.*] erasa est nota personae in *R* — *G* | *εἶ τις*] *εῖ* (corr. in *εἶ R*^{2}) *τίς· R* ‖ v. 908 *ΚΗΔ.*] erasa est nota personae in *R* — *G*

τοῖσιν πρυτάνεσιν ἃ πεποίηχ' οὗτος φράσω.]
ΚΗΔ. ἄγε δὴ τίς ἔσται μηχανὴ σωτηρίας;
τίς πεῖρα, τίς ἐπίνοι'; ὁ μὲν γὰρ αἴτιος
κἄμ' εἰσκυλίσας εἰς τοιαυτὶ πράγματα
οὐ φαίνεταί πω. φέρε, τίν' οὖν ἂν ἄγγελον
πέμψαιμ' ἐπ' αὐτόν; οἶδ' ἐγὼ καὶ δὴ πόρον
ἐκ τοῦ Παλαμήδους· ὡς ἐκεῖνος, τὰς πλάτας
ῥίψω γράφων. ἀλλ' οὐ πάρεισιν αἱ πλάται.
πόθεν οὖν γένοιντ' ἄν μοι πλάται; πόθεν; πόθεν;
τί δ' ἄν, εἰ ταδὶ τἀγάλματ' ἀντὶ τῶν πλατῶν
γράφων διαρρίπτοιμι; βέλτιον πολύ.
ξύλον γέ τοι καὶ ταῦτα κἀκεῖν' ἦν ξύλον.
ὦ χεῖρες ἐμαί,
χρή μ' ἐγχειρεῖν ἔργῳ πορίμῳ.
ἄγε δὴ πινάκων ξεστῶν δέλτοι,
δέξασθε σμίλης ὀλκούς,
κήρυκας ἐμῶν μόχθων· οἴμοι,

ADNOTATIO CRITICA.

v. 766 *ἐπίνοι'* Brunckius. — v. 768 *οὐ φαίνεταί πω* Dobraeus. — *οὖν ἄν* Porsonus. — v. 772 in emendando versu Bentleium secutus sum. — v. 773 *ταδὶ* Suidas. — v. 777 *χρή μ' ἐγχειρεῖν* e coniectura scripsi.

SCRIPTURAE DISCREPANTIA.

v. 764 *πεποίηχ'*] *πεπόηχ' RG* ‖ v. 765 *ΚΗΔ.*] — *R* *μνῆ* add. R^2 *μνησί* est in *G* | *δὴ*] *δή G* | *ἔσται*] *�έσται R* ‖ v. 766 *πεῖρα*] *πείρα R* | *ἐπίνοι';*] *ἐπίνοια· R ἐπίνοια G* ‖ v. 767 *κἄμ'*] *κάμ' R κἀμ' G* | *εἰσκυλίσας εἰς*] *ἐσκυλίσας ἐς RG* | *τοιαυτὶ*] *τοιαυτί G* ‖ v. 768 *φαίνεταί πω*] *φαίνετ' οὔπω RG* | *φέρε*] corr. ex *τί φέρε R* | *τίν'*] *τιν' G* | *ἄν*] omm. *RG* ‖ v. 769 *ἐπ' αὐτόν;*] *επαυτὸν· R ἐπ' αὐτὸν, G* | ante *οἶδ'* spat. trium fere litt. rel. in *G* | *πόρον*] *πόρον· R πρὸς ὃν G* ‖ v. 772 in codd. sic legitur: *πόθεν οὖν γένοιτ' ἄν μοι πλάται (πλάτα G)* : (sic *R*, spat. trium fere litterarum rel. in *G*) *πόθεν RG* ‖ v. 773 *τί*] *τὶ G* | *ἄν, εἰ ταδὶ*] *ἀν εἶτα δια R ἂν εἶτα διὰ* (potest esse etiam *διά*) *G* | *τἀγάλματ'*] *τ' ἀγάλματ' G* ‖ v. 776 *ὦ*] *ευρί ὦ G* | *ἐμαί,*] *ἐμαὶ· R ἐμαὶ G* ‖ v. 777 *χρή μ' ἐγχειρεῖν*] *ἐγχειρεῖν χρὴ RG* ‖ v. 779 inter *σ* et *θ* in *δέξασθε* deletum est *δ R* | *σμίλης*] *σμιλης R* corr. in *σμιλῆς* R^2 *σμιλῆς* est in *G* | seqq. sic interpunctione in codd. distinguuntur: *ὁλκοὺς κήρυκας· (κήρυκας G) ἐμῶν μόχθων οἴμοι RG*

τουτὶ τὸ ῥῶ μοχθηρόν·
χώρει, χώρει· ποίαν αὔλακα;
βάσκετ', ἐπείγετε πάσας καθ' ὁδούς,
κείνᾳ, ταύτᾳ· ταχέως χρή.
KOP. ἡμεῖς τοίνυν ἡμᾶς αὐτὰς εὖ λέξωμεν παραβᾶσαι.
καίτοι πᾶς τις τὸ γυναικεῖον φῦλον κακὰ πόλλ' ἀγορεύει,
ὡς πᾶν ἐσμεν κακὸν ἀνθρώποις κἀξ ἡμῶν ἐστιν ἅπαντα,
ἔριδες, νείκη, στάσις ἀργαλέα, λύπη, πόλεμος.
φέρε δή νυν,
εἰ κακόν ἐσμεν, τί γαμεῖθ' ἡμᾶς, εἴπερ ἀληθῶς κακόν ἐσμεν,
κἀπαγορεύετε μήτ' ἐξελθεῖν μήτ' ἐκκύψασαν ἁλῶναι,
ἀλλ' οὑτωσὶ πολλῇ σπουδῇ τὸ κακὸν βούλεσθε φυλάττειν;
κἂν ἐξέλθῃ τὸ γύναιόν ποι, κᾆθ' εὕρητ' αὐτὸ θύρασιν,
μανίας μαίνεσθ', οὓς χρῆν σπένδειν καὶ χαίρειν, εἴπερ ἀληθῶς

ADNOTATIO CRITICA.

v. 784 ταύτᾳ Reiskius. — v. 788 στάσις ἀργαλέα Scaliger. — v. 790 ἐκκύψασαν Reiskius. — v. 792 εὕρητ' Porsonus. — v. 793 χρῆν Brunckius.

SCRIPTURAE DISCREPANTIA.

v. 781 μοχθηρόν·] corr. ex μοχθηρὸν· in *R* μοχθηρὸν est in *G* ‖ v. 782 χώρει, χώρει·] χώρει· χώρει· *R* χώρει χώρει *G* | αὔλακα;] αὔλακα *RG* ‖ v. 783 καθ' ὁδούς] καθόδους *RG* ‖ v. 784 κείνᾳ] κείνα *G* | ταύτᾳ·] ταῦτα *RG* | χρή.] χρή: *R* χρὴ *G* ‖ v. 785 KOP.] om. *R* add. χορ R^2 χορ̣ est in *G* ‖ v. 786 πᾶς] πάς *R* | τις] τίς *G* | φῦλον] φύλον *R* ‖ v. 787 κἀξ] κ' ἀξ *R* | ἐστιν] ἔστιν' *G* | v. 788 inter ρ et ι littera erasa est (ε ut videtur) in ἔριδες *R* | στάσις ἀργαλέα] στάσεις· ἀργαλέα· *R* στάσεις, ἀργαλέα *G* | δή νυν] δὴ νῦν *RG* ‖ v. 789 εἰ] εἰ καὶ *RG* | κακόν ἐσμεν] κακὸν ἐσμὲν *RG* | τί] τὶ *G* | γαμεῖθ'] γαμεῖσθ' *G* | κακόν ἐσμεν,] κακὸν ἐσμεν· *R* κακὸν ἐσμὲν *G* ‖ v. 790 κἀπαγορεύετε μήτ'] κ' ἀπάγορεύετε μὴτ' *R* | ἐκκύψασαν] ἐγκύψασαν *RG* ‖ v. 791 οὑτωσὶ] οὑτωσί *G* ‖ v. 792 κἂν] κ' ἂν *R* | ἐξέλθῃ] ἐξέλθῃ corr. ex ἐξέλθοι *R* ἐξέλθοι *G* | κᾆθ'] κάθ' *RG* | εὕρητ'] εὕροιτ' *RG* ‖ v. 793 μαίνεσθ'] μαίνεθ' *R* | χρῆν] χρὴ *RG*

ἔνδοθεν ηὕρετε φροῦδον τὸ κακὸν καὶ μὴ κατελαμβάνετ' ἔνδον.
κἄν καταδαρθῶμεν ἐν ἀλλοτρίων παίζουσαι καὶ κοπιῶσαι,
πᾶς τις τὸ κακὸν τοῦτο ζητεῖ περὶ τὰς κλίνας περινοστῶν.
κἄν ἐκ θυρίδος παρακύπτωμεν, τὸ κακὸν ζητεῖτε θεᾶσθαι·
κἄν αἰσχυνθεῖσ' ἀναχωρήσῃ, πολὺ μᾶλλον πᾶς ἐπιθυμεῖ
αὖθις τὸ κακὸν παρακῦψαν ἰδεῖν. οὕτως ἡμεῖς ἐπιδήλως
ὑμῶν ἐσμεν πολὺ βελτίους· βάσανός τε πάρεστιν ἰδέσθαι.
βάσανον δῶμεν, πότεροι χείρους. ἡμεῖς μὲν γάρ φαμεν ὑμᾶς,
ὑμεῖς δ' ἡμᾶς. σκεψώμεθα δὴ κἀντιτιθῶμεν πρὸς ἕκαστον

ADNOTATIO CRITICA.

v. 794 *ηὕρετε* Meinekius. — v. 796 *κλῖναι* vocabulum hoc loco aedes significare videtur, in quibus dormiebant mulieres solemnia illa agentes. — v. 797 *τὸ κακὸν ζητεῖτε θεᾶσθαι* J. Kaye apud Dobraeum. — v. 799 *παρακῦψαν* Dindorfius (*παρακύψαν* Kusterus). — verba *τὸ κακὸν παρακῦψαν ἰδεῖν* transposuit Porsonus. — v. 801 *γάρ φαμεν* Bekkerus.

SCRIPTURAE DISCREPANTIA.

v. 794 *ηὕρετε*] *εὕρετε RG* | *κατελαμβάνετ'*] *καταλαμβάνετ' RG* | versus sic interpunctione distinguitur: *ἔνδοθεν εὕρετε· φροῦδον τὸ κακὸν· καὶ μη* (sic) *καταλαμβάνετ' ἔνδον· R* ‖ v. 795 *κἄν*] *κ' ἄν R* ‖ v. 796 *τις*] *τίς G* | *περινοστῶν*] ras. corr. ex *περὶ νοστῶν R* ‖ v. 797 *κἄν*] *κ' ἄν R* | *τὸ κακὸν ζητεῖτε θεᾶσθαι*] *ζητεῖ τὸ κακὸν τεθεᾶσθαι RG* sed in *G* punctum est supra *τε*, quo, ut videtur, *τε* delendum esse significavit librarius ‖ v. 798 *κἄν*] *κ' ἄν R* | *αἰσχυνθεῖσ'*] *αἰσχυνθεὶσ* corr. ex *αἰσχυνθῆσ R αἰσχυνθεὶσ* est in *G* | *ἀναχωρήσῃ*,] *ἀναχωρήσῃ* corr. ex *ἀναχώρησῃ G* (*ἀναχωρήσῃ· R*) ‖ v. 799 *τὸ κακὸν παρακῦψαν ἰδεῖν.*] *παρακύψασαν ἰδεῖν τὸ κακον· R παρακύψασαν ἰδεῖν τὸ κακὸν G* ‖ v. 800 *ἐσμεν*] *ἐσμὲν RG* ‖ v. 801 *γάρ φαμεν*] *γὰρ φαμὲν RG* ‖ v. 802 *ὑμεῖς*] corr. ex *ἡμεῖς G* | *ἡμᾶς*] *ὑμᾶς R* | *σκεψώμεθα*] *σκεψώμεσθα R* | *κἀντιτιθῶμεν*] alterum *τ* in rasura est *R κἀντιθῶμεν G*

παραβάλλουσαι τῆς τε γυναικὸς καὶ τἀνδρὸς τοὔνομ' ἑκάστου.
Ναυσιμάχης μέν γ' ἥττων ἐστὶν Χαρμῖνος· δῆλα δὲ τἄργα.
καὶ μὲν δὴ καὶ Κλεοφῶν χείρων πάντως δήπου Σαλαβακχοῦς.
πρὸς Ἀριστομάχην δὲ χρόνου πολλοῦ, πρὸς ἐκείνην τὴν Μαραθῶνι,
καὶ Στρατονίκην ὑμῶν οὐδεὶς οὐδ' ἐγχειρεῖ πολεμίζειν.
ἀλλ' Εὐβούλης τῶν πέρυσίν τις βουλευτής ἐστιν ἀμείνων,
παραδοὺς ἑτέρῳ τὴν βουλείαν; οὐδ' αὐτὸς τοῦτό γε φήσεις.
οὕτως ἡμεῖς πολὺ βελτίους τῶν ἀνδρῶν εὐχόμεθ' εἶναι.
οὐδ' ἂν κλέψασα γυνὴ ζεύγει κατὰ πεντήκοντα τάλαντα
εἰς πόλιν ἔλθοι τῶν δημοσίων· ἀλλ' ἢν τὰ μέγισθ' ὑφέληται,

ADNOTATIO CRITICA.

v. 803 *ἑκάστου* editio Brubachiana. — v. 804 *μέν γ'* Dobraeus. — v. 809 *φήσεις* voce chorus unumquemque ex spectatoribus alloquitur. Kusteri *φήσει* a plerisque editoribus probatum ad indefinitum *τις* apte referri non potest.

SCRIPTURAE DISCREPANTIA.

v. 803 *παραβάλλουσαι*] *παρὰ βάλλουσαι R* | *τἀνδρὸς*] *τ' ἀνδρὸς R* | *τοὔνομ'*] *τοῦ 'νομ' R* | *ἑκάστου*] *ἕκαστος RG* ‖ v. 804 *Ναυσιμάχης*] *ναῦσ μάχησ R* corr. R^2 | *μέν γ'*] *μὲν RG* | *ἐστὶν*] *ἐστὶ RG* | *δῆλα δὲ*] *δηλαδὴ R δηλαδὴ G* | *τἄργα*] in *τ' ἄργα* in *R γα* in ras. scripsit R^2, quae etiam accentum super *ἄ* adiecit ‖ v. 805 *χείρων*] *χεῖρον RG* | *Σαλαβακχοῦς*] *σαλλαβακχοῦς R* altero *λ* expuncto corr. R^2 ‖ v. 806 *πρὸς*] *προς R* corr. in *πρὸς* R^2 | *πρὸς ἐκείνην*] *προσεκείνην R* ‖ v. 807 *Στρατονίκην*] *στρατωνίκην RG* | *οὐδείς*] *οὐδεῖς R οὐδείς* in textu omissum in margine adiecit *G* | *ἐγχειρεῖ*] *εγχειρει R* corr. in *εγχειρεῖ* R^2 ‖ v. 808 *πέρυσίν*] *πέρυσιν R πέρυσι G* | *τις*] *τίς RG* | *βουλευτής ἐστιν*] *βουλευτὴς ἐστὶν R βουλευτής ἐστὶν G* ‖ v. 809 *αὐτὸς*] *αὐτός G* ‖ v. 810 *εὐχόμεθ'*] *εὐχόμεσθ' R* ‖ v. 812 *εἰς*] *ἐς RG* | *ἢν*] *ἦν R* | *μέγισθ'*] *μέγιστα R μέγιστ' G*

φορμὸν πυρῶν τἀνδρὸς κλέψασ', αὐθημερὸν αὖτ' ἀπέδωκεν.

ΧΟΡ. ἀλλ' ἡμεῖς ἂν πολλοὺς τούτων
ἀποδείξαιμεν ταῦτα ποιοῦντας.
καὶ πρὸς τούτοις γάστριδας ἡμῶν
ὄντας μᾶλλον καὶ λωποδύτας
καὶ βωμολόχους κἀνδραποδιστάς.
καὶ μὲν δήπου καὶ τὰ πατρῷά γε
χείρους ἡμῶν εἰσιν σώζειν.
ἡμῖν μὲν γὰρ σῶν ἔτι καὶ νῦν
τἀντίον, ὦ κανών, οἱ καλαθίσκοι,
τὸ σκιάδειον·
τοῖς δ' ἡμετέροις ἀνδράσι τούτοις
ἀπόλωλεν μὲν πολλοῖς ὁ κανὼν
ἐκ τῶν οἴκων αὐτῇ λόγχῃ,
πολλοῖς δ' ἑτέροις ἀπὸ τῶν ὤμων
ἐν ταῖς στρατιαῖς
ἔρριπται τὸ σκιάδειον.

ΚΟΡ. πόλλ' ἂν αἱ γυναῖκες ἡμεῖς ἐν δίκῃ μεμψαίμεθ' ἄν τοῖσιν ἀνδράσιν δικαίως· ἓν δ' ὑπερφυέστατον.
χρῆν γάρ, ἡμῶν εἰ τέκοι τις ἄνδρα χρηστὸν τῇ πόλει,

ADNOTATIO CRITICA.

v. 813 *κλέψασ'* Brunckius. — v. 815 *ἀποδείξαιμεν* Bentleius. — *ποιοῦντας* Kusterus. — v. 825 *ἀπόλωλεν* Brunckius. — v. 832 *χρῆν* Brunckius.

SCRIPTURAE DISCREPANTIA.

v. 813 *τἀνδρὸς*] *τ' ἀνδρὸς R* | *κλέψασ'*] *κλέψασα RG* | *αὐθημερὸν*] *αὐθημερόν G* | *αὖτ' ἀπέδωκεν.*] *αὖτ' ἀπέδωκεν. R ἀυτ' ἀπέδωκεν* corr. ex *ἀντ' ἀπέδωκεν G* ‖ v. 814 *ΧΟΡ.*] omm. *RG* ‖ v. 815 *ἀποδείξαιμεν*] *ἀποδείξομεν RG* | *ποιοῦντας*] *ποθοῦντας RG* ‖ v. 816 *γάστριδας*] *γαστρίδας RG* ‖ v. 818 *κἀνδραποδιστάς.*] *κ' ἀνδραποδιστάς. R κἀνδραποδιστὰς G* ‖ v. 820 *εἰσιν*] *εἰσὶν* corr. ex *εἰσίν R* ‖ v. 822 *τἀντίον*] corr. ex *τ' ἀντίον R* ‖ v. 824 *ἀνδράσι*] *ἀνδρασιν* corr. ex *ἀνδρᾶσιν R* ‖ v. 825 *ἀπόλωλεν*] *ἀπόλωλε RG* ‖ v. 828 *στρατιαῖς*] *στρατειαῖς G* ‖ v. 830 *ΚΟΡ.*] omm. *RG* ‖ v. 831 *ἓν*] *ἑν R* ‖ v. 832 *χρῆν*] *χρὴ RG* | *τις*] *τίς RG*

ταξίαρχον ἢ στρατηγόν, λαμβάνειν τιμήν τινα,
προεδρίαν τ' αὐτῇ δίδοσθαι Στηνίοισι καὶ Σκίροις
ἔν τε ταῖς ἄλλαις ἑορταῖς αἶσιν ἡμεῖς ἤγομεν.
εἰ δὲ δειλὸν καὶ πονηρὸν ἄνδρα τις τέκοι γυνή,
ἢ τριήραρχον πονηρόν, ἢ κυβερνήτην κακόν,
ὑστέραν αὐτὴν καθῆσθαι, σκάφιον ἀποκεκαρμένην,
τῆς τὸν ἀνδρεῖον τεκούσης. τῷ γὰρ εἰκός, ὦ πόλις,
τὴν Ὑπερβόλου καθῆσθαι μητέρ' ἠμφιεσμένην
λευκὰ καὶ κόμας καθεῖσαν πλησίον τῆς Λαμάχου,
καὶ δανείζειν χρήμαθ', ᾗ χρῆν, εἰ δανείσειέν τινι
καὶ τόκον πράττοιτο, διδόναι μηδέν' ἀνθρώπων τόκον,
ἀλλ' ἀφαιρεῖσθαι βίᾳ τὰ χρήματ', εἰπόντας τοδί·
ἀξία γὰρ εἶ τόκου, τεκοῦσα τοιοῦτον τόκον;
ΚΗΛ. ἰλλὸς γεγένημαι προσδοκῶν· ὁ δ' οὐδέπω.
τί δῆτ' ἂν εἴη τοὐμποδών; οὐκ ἔσθ' ὅπως

ADNOTATIO CRITICA.

vv. 833 et 837 genuini sunt, quos frustra Hamakerum secuti exagitarunt recentiores editores. v. 837 alludit poeta ad Charmini cladem navalem cfr. v. 804 et Thucyd. VIII, 42. — v. 834 *Στηνίοισι* scholiasta. — v. 836 *εἰ* Porsonus. — v. 842 *χρήμαθ', ᾗ* Bentleius. — *εἰ* Brunckius. — v. 845 *γὰρ* e coniectura scripsi.

SCRIPTURAE DISCREPANTIA.

v. 833 *στρατηγόν,*] *στρατηγὸν·* corr. ex *στρατηγόν· R στρατηγὸν* est in *G* | *λαμβάνειν*] *λαμβάνει R* corr. in *λαμβάνειν* R^2 | *τινα*] corr. ex *ποτε R* ‖ v. 834 *τ' αὐτῇ*] *τ' αυτῆ R* | *Στηνίοισι*] *τηνίοισι·* corr. ex *τήνιοισι· R τηνίοισι* est in *G* ‖ v. 835 *ἔν*] *ἐν G* | *αἶσιν*] acc. et spir. in ras. add. R^2 ‖ *ἤγομεν*] *ἤγομεν R* ‖ v. 836 *εἰ*] *ἢν* corr. ex *ἦν R ἤν* est in *G* | *ἄνδρα τις*] *ἄνδρά τις RG* ‖ v. 838 *ὑστέραν*] *ὕστερον R* corr. R^2 ‖ v. 839 *πόλις*] *πόλεις RG* | v. 842 *χρήμαθ', ᾗ*] *χρήματ' ἢν R χρήματα χρήματ' ἢν* deleto *χρήματα* lineola traducta *G* | *εἰ*] *ἦν R ἢν G* | *δανείσειέν*] *δανείσειέ R δανεισειέ G* ‖ v. 843 *πράττοιτο*] corr. ex *πράγττοιτο R* | *μηδέν'*] *μὴδέν' R* ‖ v. 844 *ἀφαιρεῖσθαι*] *ἀφερεῖσθαι R* | *τὰ χρήματ'*] *τὰ* (corr. ex *τα* R^2) *χρήματατ' RG* | *τοδί·*] *τὸδὶ* corr. ex *τὰδὶ R τοδὶ* est in *G* ‖ v. 845 *ἀξία*] *ἄξια R* corr. in *ἀξία* R^2 | *γὰρ*] *γοῦν RG* | *εἶ*] *εἰ R* | *τεκοῦσα*] *τεκοῦ R* superscripto *σα* corr. R^2 | *τόκον;*] *τόκον· R τόκον G* ‖ v. 846 *ΚΗΛ.*] om. *R* *μνῆ* add. R^2 — atramento et *μνῆ* minio pictum est in *G* | *ὁ δ'*] *ὅδ' RG* ‖ v. 847 *τί*] *τι G* | *τοὐμποδών;*] *τ' οὐμποδῶν R τοὐμποδῶν G* | *ἔσθ'*] *ἐσθ' R ἐσθ' G*

οὐ τὸν Παλαμήδην ψυχρὸν ὄντ' αἰσχύνεται.
τῷ δῆτ' ἂν αὐτὸν προσαγαγοίμην δράματι;
ἐγῳ̃δα· τὴν καινὴν Ἑλένην μιμήσομαι.
πάντως δ' ὑπάρχει μοι γυναικεία στολή.
ΓΥ. Γ. τί αὖ σὺ κυκανᾷς, καὶ τί κοικύλλεις ἔχων;
πικρὰν Ἑλένην ὄψει τάχ', εἰ μή κοσμίως
ἔξεις, ἕως ἂν τῶν πρυτάνεών τις φανῇ.
ΚΗΔ. Νείλου μὲν αἵδε καλλιπάρθενοι ῥοαί,
ὃς ἀντὶ δίας ψακάδος Αἰγύπτου πέδον
λευκῆς νοτίζει μελανοσυρμαῖον λεών.
ΓΥ. Γ. πανοῦργος εἶ νὴ τὴν Ἑκάτην τὴν φωσφόρον.
ΚΗΔ. ἐμοὶ δὲ γῆ μὲν πατρὶς οὐκ ἀνώνυμος,
Σπάρτη, πατὴρ δὲ Τυνδάρεως. ΓΥ. Γ. σοί γ', ὦ λεθρε,
πατὴρ ἐκεῖνός ἐστι; Φρυνώνδας μὲν οὖν.
ΚΗΔ. Ἑλένη δ' ἐκλήθην. ΓΥ. Γ. αὖθις αὖ γίγνει γυνή,

ADNOTATIO CRITICA.

v. 851 δ' inseruit Bentleius. — v. 852 κυκανᾷς Kusterus. — καὶ Suidas (etsi duo codices Suidae et ipsi habent ᾗ). — v. 853 Ἑλένην Iuntina. — v. 857 fortasse scribendum est: μελανοσυρμαίῳ λεῷ. — v. 862 γίγνει Brunckius.

SCRIPTURAE DISCREPANTIA.

v. 849 ἄν] ἂν *R* ‖ v. 850 ἐγῳ̃δα·] ἐγῳδα *R* ἐγ' ῳ̃δα *G* ‖ v. 851 δ'] omm. *RG* | γυναικεία] γυναικεῖα *RG* ‖ v. 852 ΓΥ. Γ.] — *R* γῦ add. R^2 γυνὴ est in *G* | τί] τι *G* | αὖ] αῦ *R* corr. in αῦ R^2 | κυκανᾷς] κυρκανᾷς *RG* | καὶ] ᾗ *R* ᾗ, *G* ‖ v. 853 Ἑλένην] ἑλένη *RG* (False locis nonnullis script. discrepantiae principia nominum grandioribus, quae in ipsis codicibus non insunt, litteris sunt exhibita.) ‖ v. 854 πρυτάνεών τις] πρυτάνεων τίς *R* πρυτάνεων τις *G* ‖ v. 855 ΚΗΔ.] — *R* μνῆ add. R^2 μνησί est in *G* | Νείλου μὲν] νειλου δ μὲν sed deletum est δ *R* | αἵδε] αἶδε *R* ‖ v. 856 ὃς ἀντὶ δίας] ὅσ' ἀντιδίας *R* | ψακάδος] ψακάδος *G* ‖ v. 857 μελανοσυρμαῖον] mut. in μέλανο συρμαῖον R^2 | λεών] λεῶν *R* ‖ v. 858 ΓΥ. Γ.] — *RG* | εἶ] εῖ *R* | νὴ τὴν] τ νὴ τὴν deleto priore τ inter scribendum *G* ‖ v. 859 ΚΗΔ.] — *RG* ‖ v. 860 ΓΥ. Γ.] : *R* — *G* | σοί γ'] σί τ' ut videtur *R* correctum in σύ τ' ab alia manu aut R^2 aut Euphrosyni Bonini σύ τ' *G* | ὦλεθρε] ὠλεθρε *R* ὤλεθρε *G* ‖ v. 861 ἐστι] ἐστὶν *R* ἐστὶ *G* | Φρυνώνδας μὲν οὖν] φρυνῶνδασ μενοῦν *R* corr. in φρυνῶνδασ μὲν οὖν R^2 φρυνῶν δασμὲν οὖν *G* ‖ v. 862 ΚΗΔ.] om. *R* — *G* | ΓΥ. Γ.] : *R* — *G* | αὖ] αῦ *R* | γίγνει] γίγνη *RG*

πρὶν τῆς ἑτέρας δοῦναι γυναικίσεως δίκην;
ΚΗΔ. ψυχαὶ δὲ πολλαὶ δι' ἔμ' ἐπὶ Σκαμανδρίαις
ῥοαῖσιν ἔθανον. ΓΥ. Γ. ὤφελες δὲ καὶ σύ γε.
ΚΗΔ. κἀγὼ μὲν ἐνθάδ' εἰμ'· ὁ δ' ἄθλιος πόσις
οὑμὸς Μενέλαος οὐδέπω προσέρχεται.
τί οὖν ἔτι ξῶ; ΓΥ. Γ. τῶν κοράκων πονηρίᾳ.
ΚΗΔ. ἀλλ' ὥσπερ αἰκάλλει τι καρδίαν ἐμήν,
μὴ ψεῦσον, ὦ Ζεῦ, τῆς ἐπιούσης ἐλπίδος.
ΕΥΡ. τίς τῶνδ' ἐρυμνῶν δωμάτων ἔχει κράτος,
ὅστις ξένους δέξαιτο ποντίῳ σάλῳ
καμόντας ἐν χειμῶνι καὶ ναναγίαις;
ΚΗΔ. Πρωτέως τάδ' ἐστὶ μέλαθρα. ΓΥ. Γ. ποίου Πρωτέως;
ὦ τρισκακόδαιμον· ψεύδεται νὴ τὼ θεώ,
ἐπεὶ τέθνηκε Πρωτέας ἔτη δέκα.
ΕΥΡ. ποίαν δὲ χώραν εἰσεκέλσαμεν σκάφει;

ADNOTATIO CRITICA.

v. 867 *Μενέλαος* codicum hoc loco et vv. 901 et 910 servandum est, cum Euripides, qui ridetur, et ipse in Helena et *Μενέλαος* et *Μενέλεως* dixerit, cfr. Helenae vv. 1196 et 1215, 1003 et 1031. — v. 868 *τῶν κοράκων πονηρίᾳ.* verba Bentleius cum scholiasta mulieri tribuit. — vv. 869 et 870 fortasse praestat, ut cum Meinekio et Dindorfio puncto post *ἐμήν* posito sententiam terminemus. Sed ita v. 870 scribendum esse videtur: *μ' ἐλπίδος.* — v. 872 *ξένους* Bentleius. — v. 873 *καμόντας* Lentingius. — v. 874 *ποίου Πρωτέως* verba mulieri tribuenda esse vidit Bentleius.

SCRIPTURAE DISCREPANTIA.

v. 863 *πρὶν*] *πρίν G* ‖ v. 864 *ΚΗΔ.*] om. *R* — add. R^2 — est in *G* | *ἔμ'*] *ἐμ R ἐμ' G* ‖ v. 865 *ΓΥ. Γ.*] : *R* — *G* ‖ v. 866 *ΚΗΔ.*] — *RG* | *κἀγὼ*] *καγὼ R* | *εἰμ'*] *εἰμ' RG* | *ὁ δ'*] *ο δ' R* ‖ v. 867 *οὑμὸς*] *ὀὐμὸς R ὁύμὸς G* ‖ v. 868 *ΓΥ. Γ.*] omm. *RG* ‖ v. 869 *ΚΗΔ.*] omm. *RG* | *τι*] *τί RG* | *ἐμήν,*] *ἐμήν· R ἐμὴν G* ‖ v. 871 *ΕΥΡ.*] om. *R* *εὐρ$^{\pi}$ι* add. R^2 | *τῶνδ'*] *τῶντδ'* sed deleto altero *τ* ante *δ'* inter scribendum *G* ‖ v. 872 *ξένους*] *ξένος RG* ‖ v. 873 *καμόντας*] *κάμνοντας RG* ‖ v. 874 *ΚΗΔ.*] — *RG* | *ἐστὶ*] *εστι R* | *ΓΥ. Γ.*] — *RG* | *ποίου*] *πόσου* ut videtur *R* eraso *σ* correxit in *ποίοῦ* R^2 | — *ποίου πρωτέως·* verba unum versum explent in *R* ‖ v. 875 *ὦ*] — *ὦ RG* | *θεώ,*] *θεὼ·* corr. ex *θεώ· R θεὼ* est in *G* ‖ v. 876 *δέκα*] *δεκα R* ‖ v. 877 *ΕΥΡ.*] — *R* *εὐρ$^{\pi}$ι* add. R^2 | *ποίαν*] *ποῖαν R* corr. in *ποίαν* R^2

ΚΗΔ. *Αἴγυπτον.* *ΕΥΡ.* *ὦ δύστηνος, οἷ πεπλώκαμεν.*
ΓΥ. Γ. *πείθει τι τούτῳ τῷ κακῶς ἀπολουμένῳ*
ληροῦντι λῆρον; Θεσμοφορεῖον τουτογί.
ΕΥΡ. *αὐτὸς δὲ Πρωτεὺς ἔνδον ἔστ', ἢ 'ξώπιος;*
ΓΥ. Γ. *οὐκ ἔσθ' ὅπως οὐ ναυτιᾷς ἔτ', ὦ ξένε,*
ὅστις γ' ἀκούσας ὅτι τέθνηκε Πρωτέας
ἔπειτ' ἐρωτᾷς, ἔνδον ἔστ', ἢ 'ξώπιος;
ΕΥΡ. *αἰαῖ, τέθνηκε; ποῦ δ' ἐτυμβεύθη τάφῳ;*
ΚΗΔ. *τόδ' ἐστὶν αὐτοῦ σῆμ', ἐφ' ᾧ καθήμεθα.*
ΓΥ. Γ. *κακὸς κακῶς τἄρ' ἐξόλοιο κἀξολεῖ,*
ὅστις γε τολμᾷς σῆμα τὸν βωμὸν καλεῖν.
ΕΥΡ. *τί δὴ σὺ θάσσεις τάσδε τυμβήρεις ἕδρας*
φάρει καλυπτός, ὦ ξένη; ΚΗΔ. *βιάζομαι*
γάμοισι Πρωτέως παιδὶ συμμῖξαι λέχος.
ΓΥ. Γ. *τί, ὦ κακόδαιμον, ἐξαπατᾷς αὖ τὸν ξένον;*

ADNOTATIO CRITICA.

v. 879 *τούτῳ* editio Brubachiana. — v. 880 *Θεσμοφορεῖον* Meinekius. — v. 883 *ὅστις γ'* Scaliger. — v. 885 *τέθνηκε;* Blaydesius. — v. 887 *κακὸς κακῶς τἄρ'* scripsi Meinekium secutus, nisi quod ille habet *κακὴ κακῶς*. — v. 889 *δὴ* Bentleius.

SCRIPTURAE DISCREPANTIA.

v. 878 *ΚΗΔ.*] — *R* *μνῆ* add. R^2 *μνῆσί* *G* | *ΕΥΡ.*] om. *R* — *G* | *οἷ*] *οἱ* *R* ‖ v. 879 *ΓΥ. Γ.*] — *R* *γῦ* add. R^2 *γυνὴ* *G* | *τι*] *τί* *R* | *τούτῳ*] omm. *RG* ‖ v. 880 *Θεσμοφορεῖον*] *θεσμοφόριον* *RG* | *τουτογί.*] *τουτονί* *G* ‖ v. 881 *ΕΥΡ.*] om. *R* — add. R^2 — est in *G* | *ἔστ', ἢ 'ξώπιος;*] *ἔστ' ἠξώπιος* *R* *εστ' ἡ 'ξώπιος* (hoc correctum ex *'ξωπίος*) *G* ‖ v. 882 *ΓΥ. Γ.*] om. *R* *γῦ* add. R^2 *γῦ* *G* | *ἔσθ'*] *ἐσθ'* *R* | *ναυτιᾷς*] *ναυτιᾶις* corr. ex *ναυτίαις* in *R* *ναυτιᾶς* *G* | *ἔτ',*] *ἔτ* *R* ‖ v. 883 *ὅστις γ'*] *ὅστις* *RG* ‖ v. 884 *ἢ 'ξώπιος*] *ἠξώπιος* *RG* ‖ v. 885 *ΕΥΡ.*] — *R* *εὐρῖ* add. R^2 | *αἰαῖ,*] *αἰαῖ·* *R* *αἳ αἳ* *G* | *τέθνηκε;*] *τέθνηκεν.* *R* *τέθνηκεν* *G* | *δ' ἐτυμβεύθη*] *δὲ τυμβεύθη* *G* ‖ v. 886 *ΚΗΔ.*] om. *R* *μνῆ* add. R^2 *μνῆσί* *G* | *τόδ'*] *τό δ'* *G* | *ἐστὶν*] *εστιν* *R* ‖ v. 887 *ΓΥ. Γ.*] omm. *RG* | *κακὸς κακῶς τἄρ'*] *κακῶς τ' ἄρ'* *RG* | *κἀξολεῖ,*] *κἀξολεῖ γέ τοι·* *R* *κἀξολεῖ γέ τοι* *G* ‖ v. 889 *ΕΥΡ.*] — *R* *εὐρῖ* add. R^2 | *δὴ*] *δε* *R* *δὲ* *G* | *τάδε*] *τάς δε* *G* ‖ v. 890 *ΚΗΔ.*] : *R* om. spatio rel. *G* ‖ v. 891 *συμμῖξαι*] *συμμίξαι* *RG* ‖ v. 892 *ΓΥ. Γ.*] — *R* *γῦ* add. R^2 *γυνῆ* *G* | *αὖ τὸν*] *αὐτὸν* *R* corr. in *αὖτὸν* R^2 *αὐτὸν* *G*

οὗτος πανουργῶν δεῦρ' ἀνῆλθεν, ὦ ξένε,
ὡς τὰς γυναῖκας ἐπὶ κλοπῇ τοῦ χρυσίου.
ΚΗΔ. βάϋζε, τοὐμὸν σῶμα βάλλουσα ψόγῳ.
ΕΥΡ. ξένη, τίς ἡ γραῦς ἡ κακορροθοῦσά σε;
ΚΗΔ. αὕτη Θεονόη Πρωτέως. ΓΥ. Γ. μὰ τὼ θεώ,
εἰ μὴ Κριτυλλά γ' Ἀντιθέου Γαργηττόθεν·
σὺ δ' εἶ πανοῦργος. ΚΗΔ. ὁπόσα τοι βούλει, λέγε.
οὐ γὰρ γαμοῦμαι σῷ κασιγνήτῳ ποτέ,
προδοῦσα Μενέλαον τὸν ἐν Τροίᾳ πόσιν.
ΕΥΡ. γύναι, τί εἶπας; στρέψον ἀνταυγεῖς κόρας.
ΚΗΔ. αἰσχύνομαί σε τὰς γνάθους ὑβρισμένη.
ΕΥΡ. τουτὶ τί ἔστιν; ἀφασία τίς τοί μ' ἔχει.
ὦ θεοί, τίν' ὄψιν εἰσορῶ; τίς εἶ, γύναι;
ΚΗΔ. σὺ δ' εἶ τίς; αὐτὸς γὰρ σὲ κἄμ' ἔχει λόγος.
ΕΥΡ. Ἑλληνὶς εἶ τις ἢ βαρβάρου γυνή;
ΚΗΔ. Ἑλληνίς. ἀλλὰ καὶ τὸ σὸν θέλω μαθεῖν.

ADNOTATIO CRITICA.

v. 895 coniecerim scribendum esse *τοὐμὸν βαΰζεις σῶμα β. ψ.* (erat in archetypo: $^{\beta}$*βαΰζεις*$^{\alpha}$ *τοὐμὸν σῶμα β. ψ.*). — v. 898 *Κριτυλλά γ'* Elmsleius. — v. 901 *ἐμὸν* delevit Hermannus. — v. 906 *αὐτὸς* Valckenarius.

SCRIPTURAE DISCREPANTIA.

v. 893 *ξένε,*] *ξενε· R* corr. in *ξένε· R*^{2} ‖ v. 895 *ΚΗΔ.*] — *R* *μνῆ* add. *R*^{2} *μνῆσί G* | *βάϋζε,*] *βαϋζα R βάϋζα G* ‖ v. 896 *ΕΥΡ.*] — *R* *εὐρεῖν* add. *R*^{2} | *κακορροθοῦσά*] *κακορροθουσά R* corr. in *κακορροθοῦσά R*^{2} *κακορρροθοῦσα G* ‖ v. 897 *ΚΗΔ.*] — *RG* | *αὕτη*] *αὕτη· R* | *ΓΥ. Γ.*] omm. *RG* ‖ v. 898 *εἰ μὴ*] — *εἰ μη R* — *εἰμὶ G* | *Κριτυλλά γ'*] *κριτύλλά γ' R κριτύλλα γ' G* | *Ἀντιθέου Γαργηττόθεν·*] *αντιθεου γαρ* (corr. ex *γὰρ*) *γηττόθεν R* ‖ v. 899 *εἶ*] *εῖ R* | *ΚΗΔ.*] : *R* — *G* ‖ v. 901 *τὸν ἐν*] *τὸν ἐμὸν ἐν R ἐμὸν ἐν G* ‖ v. 902 *ΕΥΡ.*] — *R* *εὐρεῖν* add. *R*^{2} | *εἶπας;*] *εἴπας· R* | *ἀνταυγεῖς*] corr. ex *ἀνταυγεῖς R* ‖ v. 903 *ΚΗΔ.*] — *RG* ‖ v. 904 *ΕΥΡ.*] — *RG* | *τουτὶ*] *τουτὶ· R τουτί G* | *ἔστιν;*] *εστιν·* corr. ex *εστὶν· R ἐστὶν G* | *τοί*] *τοι G* ‖ v. 905 *εἶ,*] *εῖ R* corr. in *εἶ R*^{2} *εἶ G* ‖ v. 906 *ΚΗΔ.*] — *RG* | *εἶ τίς;*] *εῖ τίς· R εἶ τις, G* | *αὐτὸς γὰρ σὲ κἄμ'*] *αὐτὸς γάρ σε κάμ' R αὐτὸς γάρ σε κἀμ' G* ‖ v. 907 *ΕΥΡ.*] erasa est nota personae in *R* — *G* | *εἶ τις*] *εῖ* (corr. in *εἶ R*^{2}) *τίς· R* ‖ v. 908 *ΚΗΔ.*] erasa est nota personae in *R* — *G*

ΕΥΡ. Ἑλένῃ σ' ὁμοίαν δὴ μάλιστ' εἶδον, γύναι.
ΚΗΔ. ἐγὼ δὲ Μενελάῳ σ', ὅσα γ' ἐκ τῶν ἰφύων.
ΕΥΡ. ἔγνως ἄρ' ὀρθῶς ἄνδρα δυστυχέστατον;
ΚΗΔ. ὦ χρόνιος ἐλθὼν σῆς δάμαρτος ἐς χέρας,
λαβέ με, λαβέ με, πόσι· περίβαλε δὲ χέρας.
φέρε, σὲ κύσω. ἄπαγέ μ' ἄπαγ' ἄπαγ' ἄπαγέ με
λαβὼν ταχὺ πάνυ. ΓΥ. Γ. κλαύσετ' ἄρα νὴ τὼ θεὼ
ὅστις σ' ἀπάξει, τυπτόμενος τῇ λαμπάδι.
ΕΥΡ. σὺ τὴν ἐμὴν γυναῖκα κωλύσεις ἐμέ,
τὴν Τυνδάρειον παῖδ', ἐπὶ Σπάρτην ἄγειν;
ΓΥ. Γ. οἶμ' ὡς πανοῦργος καὐτὸς εἶναί μοι δοκεῖς
καὶ τοῦδέ τις ξύμβουλος. οὐκ ἐτὸς πάλαι
ἠγυπτιάζετ'. ἀλλ' ὅδε μὲν δώσει δίκην.
προσέρχεται γὰρ ὁ πρύτανις χὠ τοξότης.
ΕΥΡ. τουτὶ πονηρόν· ἀλλ' ὑπαποκινητέον.
ΚΗΔ. ἐγὼ δ' ὁ κακοδαίμων τί δρῶ; ΕΥΡ. μέν' ἥσυχος.

ADNOTATIO CRITICA.

v. 909 *μάλιστ' εἶδον* Brunckius. — v. 910 *ἐγὼ δὲ Μενελάῳ σ'* Kusterus. — *ὅσα γ' ἐκ τῶν ἰφύων* auxilio Suidae Piersonus. — v. 912 *ἐς χέρας* ex Helena Euripidis v. 567. — v. 914 *περίβαλε* Bisetus. — v. 918 *κωλύσεις* Cobetus.

SCRIPTURAE DISCREPANTIA.

v. 909 *ΕΥΡ.*] — *RG* | *Ἑλένῃ σ'*] *ἑλένης RG* | *ὁμοίαν*] *ὁμοῖαν RG* | *δὴ*] *δή G* | *μάλιστ' εἶδον,*] *μάλισθ' ἴδον RG* ‖ v. 910 *ΚΗΔ.*] — *RG* | *Μενελάῳ σ',*] *μενέλαον RG* | *ἰφύων*] *ἀφύων RG* ‖ v. 911 *ΕΥΡ.*] — *RG* | *δυστυχέστατον.*] *δυστυχέστατον*: *R δυστυχέστατον G* ‖ v. 912 *ΚΗΔ.*] — *RG* | *ἐς χέρας,*] *ἐσχαρας*· *R* corr. in *ἐσχάρας*· R^2 *ἐσχάρας G* ‖ v. 914 *λαβέ με, λαβέ με,*] *λάβε με· λάβε με R λάβε με λάβε με G* | *περίβαλε*] *περίβαλλε RG* | *περίβαλλε δὲ χέρας* verba unum versum explent *RG* ‖ v. 915 *φέρε, σὲ*] *φερε σε R φέρε σε G* ‖ v. 916 *ΓΥ. Γ.*] : *R* om. spatio rel. *G* ‖ v. 918 *ΕΥΡ.*] — *R* *εὐρι*$^{\pi}$ add. R^2 | *κωλύσεις*] *κωλύεις RG* ‖ v. 919 *ἐπὶ Σπάρτην*] *επισπάρτην R* ‖ v. 920 *ΓΥ. Γ.*] — *RG* ‖ v. 921 *οὐκ ἐτὸς*] *οὐκετὸς R οὐκετός G* ‖ v. 922 *ἠγυπτιάζετ'.*] *ἠγυπτιάζετ' RG* | *ἀλλ' ὅδε*] *ἄλλ' όδε R* ‖ v. 923 *χὠ*] *χ' ὡ RG* | in *τοξότης* prius *τ* inter scribendum corr. ex *ο* in *G* ‖ v. 924 *ΕΥΡ.*] om. *R* *εὐρι*$^{\pi}$ add. R^2 ‖ v. 925 *ΚΗΔ.*] om. *R* *μνῆ* add. R^2 *μνῆ*^{σι} *G* | *ΕΥΡ.*] : *R* — *G*

οὐ γὰρ προδώσω οὐδέποτέ σ', ἥνπερ ἐμπνέω,
ἦν μὴ προλίπωσ' αἱ μυρίαι με μηχαναί.
ΚΗΔ. αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασεν.
ΠΡΥ. ὅδ' ἔσθ' ὁ πανοῦργος ὃν ἔλεγ' ἡμῖν Κλεισθένης.
οὗτος, τί κύπτεις; δῆσον αὐτόν, εἰσάγων,
ὦ τοξότ', ἐν τῇ σανίδι, κἄπειτ' ἐνθαδὶ
στήσας φύλαττε καὶ προσιέναι μηδένα
ἕα πρὸς αὐτόν, ἀλλὰ τὴν μάστιγ' ἔχων
παΐ', ἤν προσίῃ τις. ΓΥ. Γ. νὴ Δί', ὡς νῦν δή γ' ἀνὴρ
ὀλίγου μ' ἀφείλετ' αὐτὸν ἱστιορράφος.
ΚΗΔ. ὦ πρύτανι, πρὸς τῆς δεξιᾶς, ἥνπερ φιλεῖς
κοίλην προτείνειν, ἀργύριον ἤν τις διδῷ,
χάρισαι βραχύ τί μοι, καίπερ ἀποθανουμένῳ.

ADNOTATIO CRITICA.

v. 926 *οὐδέποτέ σ'* Elmsleius. — v. 927 *προλίπωσ'* Scaliger. — v. 928 iustae personae (*ΚΗΔ.*) tribuit Brunckius. — v. 934 *δή γ'* Dobraeus. — v. 935 vela ab Aegyptiis emere solitos esse Graecos satis notum est cfr. Boeckhii Staatshaushaltung der Athener III p. 142. Ceterum alludere poetam ad *ἱστοριορράφος* vocabulum recte intellexit Naberus.

SCRIPTURAE DISCREPANTIA.

v. 926 *οὐ*] — *οὐ R* | *οὐδέποτέ σ'*] *σ' οὐδέποτ' RG* | *ἥνπερ*] *ἧνπερ R* | *ἐμπνέω*,] *ἐνπνέω· R ἐμ ἐνπνέω* deleto *ἐμ* inter scribendum *G* ‖ v. 927 *ἦν*] *ἧν R* | *προλίπωσ'*] *προλείπωσ' RG* ‖ v. 928 *ΚΗΔ.*] — *RG* ‖ v. 929 *ΠΡΥ.*] — *R πρύτανις* add. R^2 *πρύτανι*[ις] *G* | *ὅδ'*] *ὁδ' G* | *ἔσθ'*] *εστ' R* | *ἔλεγ'*] *ἐλεγεν R* | *Κλεισθένης*] *κλεισθεγης R* corr. in *κλεισθένης* R^2 *κλεισθένης* est in *G* ‖ v. 930 *δῆσον*] *δήσον R* corr. in *δῆσον* R^2 ‖ v. 932 *προσιέναι*] *αι* in ras. scr. R^2 *προσίεναι G* | *μηδένα*] *έ* in *μηδένα* (sic) in ras. scr. R^2 ‖ v. 933 *ἀλλὰ*] : *ἀλλὰ R* ante *ἀλλὰ* spat. trium fere litt. rel. in *G* | *μάστιγ'*] *μαστιγ' R* corr. in *μάστιγ'* R^2 ‖ v. 934 ante versum alius erat hic: *παῖ' ἦν προσήει τίς*, quem delevit *R*, expunxit R^2 | *παΐ'*] *παῖ R* | *ἦν*] *ἧν R ἦν* corr. ex *ἐὰν*, ut videtur *G* | *τις*] *τίς G* | *ΓΥ. Γ.*] : *R* om. *G* | *νὴ Δί'*] *νη δι* super *νη* ras. *R* | *δή γ'*] *δῆτ' RG* ‖ v. 935 *ὀλίγου*] — *ὀλίγου* (*υ* in ras. duarum litt. scr. R^2) *R* — *ὀλίγου G* | *ἀφείλετ'*] post *τ* in *αφείλετ'* (sic) ras. est, litt. erasa potest fuisse *ο R* | *ἱστιορράφος.*] : *ἱστιορράφος·* unum versum explens *R* et in exitu versus superioris post *αὐτον* (sic) erat *ἱστιοφόρον*, quod delevit *R*, expunxit R^2 *ἱστιορ*[ρ]*άφος* est in *G* ‖ v. 936 *ΚΗΔ.*] om. *R μνῆ*[σι] add. R^2 *μνῆσι* est in *G* ‖ v. 937 *ἦν*] *ἧν R* ‖ v. 938 *βραχύ τί*] *βραχὺ τί R* | *καίπερ*] *καὶ R* corr. in *καίπερ* R^2 *καὶ περ* est in *G* | *ἀποθανουμένῳ*] *ἀποθανουμενῳ R* corr. in *ἀποθανουμένῳ* R^2

ΠΡΥ. *τί σοι χαρίσωμαι; ΚΗΔ. γυμνὸν ἀποδύσαντά με*
κέλευε πρὸς τῇ σανίδι δεῖν τὸν τοξότην,
ἵνα μὴ 'ν κροκωτοῖς καὶ μίτραις γέρων ἀνὴρ
γέλωτα παρέχω τοῖς κόραξιν ἑστιῶν.
ΠΡΥ. *ἔχοντα ταῦτ' ἔδοξε τῇ βουλῇ σε δεῖν,*
ἵνα τοῖς παριοῦσι δῆλος ᾖς πανοῦργος ὤν.
ΚΗΔ. *ἰαππαπαιάξ· ὦ κροκώθ', οἷ' εἰργασαι·*
κοὐκ ἔστ' ἔτ' ἐλπὶς οὐδεμία σωτηρίας.
ΚΟΡ. *ἄγε νυν ἡμεῖς παίσωμεν ἅπερ νόμος ἐνθάδε ταῖσι*
γυναιξίν,
ὅταν ὄργια σεμνὰ θεοῖν ἱεραῖς ὥραις ἀνέχωμεν,
ἅπερ καὶ
Παύσων σέβεται, καὶ νηστεύει,
πολλάκις αὐτοῖν ἐκ τῶν ὡρῶν
εἰς τὰς ὥρας ξυνεπευχόμενος
τοιαῦτα μέλειν θάμ' ἑαυτῷ.
ὅρμα, χώρει

ADNOTATIO CRITICA.

v. 939 *χαρίσωμαι* Porsonus. — v. 941 *μὴ 'ν* Kusterus. — v. 943 *ἔδοξε* Scaliger. — v. 944 *παριοῦσι* Brunckius. — v. 946 *ἔστ'* Bentleius. — v. 947 *νυν* Dindorfius. — *παίσωμεν* scholia. — *ταῖσι* Brunckius. — v. 948 *θεοῖν* Meinekius. — v. 950 *αὐτοῖν* Meinekius. — v. 952 *μέλειν* Zanettus.

SCRIPTURAE DISCREPANTIA.

v. 339 *ΠΡΥ.*] — *R* πρν. add. R^2 | *χαρίσωμαι*] *χαρίσομαι* *RG* | *ΚΗΔ.*] om. *R* om. spat. rel. *G* | in *ἀποδύσαντά*] *o* corr. ex *ὸ* *R* et *ύ* in ras. scr. R^2 ‖ v. 940 *κέλευε*] — *κέλευε* *RG* ‖ v. 941 *μὴ 'ν*] *μὴν* *RG* ‖ v. 942 *τοῖς*] *τοῖς* corr. ex *γε τοῖς* *R* *γε τοῖς* corr. ex *τοῖς γε τοῖς* *G* | *ἑστιῶν.*] *ἐστιῶν* *G* ‖ v. 943 *ΠΡΥ.*] omm. *RG* | *ταῦτ'*] *ταῦτ* *R* | *ἔδοξε*] *ἔδυξεν* *RG* ‖ v. 944 *παριοῦσι*] *παροῦσι* *RG* | *ᾖς*] *ᾗς* *R* *ᾖς* *G* ‖ v. 945 *ΚΗΔ.*] omm. *RG* | *ἰαππαπαιάξ·*] *ἰαππαπαὶὰξ· R ἴα παππαιάξ G* | *κροκώθ'*] *κροκῶθ' R κροκῶθ'* corr. ex *και κροκῶθ' G* ‖ v. 946 *κοὐκ ἔστ'*] *κ' οὐκ' ἐστιν R κοὐκ ἐστιν G* ‖ v. 947 *ΚΟΡ.*] om. *R* $\overset{o}{\chi}$ add. R^2 $\chi o\overset{o}{\chi}$ est in *G* | *νυν*] *νῦν* *RG* | *παίσωμεν*] *πέσωμεν* *RG* | *ταῖσι*] *ταῖς* *RG* ‖ v. 948 *ὅταν*] *ὅτ' ἂν R* | *θεοῖν*] *θεαῖν* *RG* | post versum *παύ* scribi coeptum del. *R* ‖ v. 950 *αὐτοῖν*] *αὐταῖν* *RG* ‖ v. 951 *εἰς*] *ἐς* *RG* ‖ v. 952 *μέλειν*] *μέλλειν* *RG* | *ἑαυτῷ.*] *εαυτῷ* *R* *ἑαυτῶ* *G*

κοῦφα ποσίν, ἄγ', εἰς κύκλον,
χερὶ σύναπτε χεῖρα,
ῥυθμὸν χορείας ὕπαγε πᾶσα·
βαῖνε καρπαλίμοιν ποδοῖν.
ἐπισκοπεῖν δὲ πανταχῇ
κυκλοῦσαν ὄμμα χρὴ χοροῦ κατάστασιν.

HMIX. α. ἅμα δὲ καὶ
γένος Ὀλυμπίων θεῶν
μέλπε καὶ γέραιρε φωνῇ πᾶσα χορομανεῖ τρόπῳ.

HMIX. β. εἰ δέ τις
προσδοκᾷ κακῶς ἐρεῖν
ἐν ἱερῷ γυναῖκά μ' οὖσαν ἄνδρας, οὐκ ὀρθῶς
φρονεῖ.

KOP. ἀλλὰ χρῆν
ὡς ἐπ' ἔργον αὖ τι καινὸν

959—961 = 962—965

ADNOTATIO CRITICA.

v. 955 χερὶ Dobraeus. — vv. 953—1000 in dispositione eporchematis secutus sum Engerum et Arnoldtium. — v. 966 χρῆν Bothius. — v. 967 ὡς ἐπ' Fritzschius.

SCRIPTURAE DISCREPANTIA.

v. 954 ποσίν, ἄγ', εἰς] ποσί. γεσ *R* corr. in ποσίν ἄγ' ἐσ R^2 ποσὶν ἄγ' ες *G* ‖ v. 955 χερὶ] χειρὶ *RG* | σύναπτε χεῖρα] corr. ex συναπτε χειρα R^2 ‖ v. 947—1001 ita in codd. dispositi sunt, ut singuli versus finiantur vocibus: ἐνθάδε | γυναιξίν | ἀνέχω (in ἀνέχωμεν) | καὶ | νηστεύει | ὡρῶν | ξυνεπευχόμενος | ἑαυτῷ | χώρει | κύκλον | χορείας | ποδοῖν | πανταχῇ | κατάστασιν | καὶ | θεῶν | τρόπῳ | τις | ἐρεῖν | ἄνδρας | φρονεῖ | χρὴ | καινὸν | βάσιν | εὐλύραν | τοξοφόρον | ἀγνήν | νίκην | τελείαν | εἰκός | ἐμ (in ἐμπαίζει) | φυλάττει | ἄντομαι | φίλας | προθύμως | χορείαις | προθύμως | χορείας | οἳ (in οἵαπερ) | πάντως | ποδὶ | ᾠδήν | αὐτὸς | κώμοις | μέλψω | διόννυσε | παῖ | νυμφᾶν | ὕμνοις | ἀναχορεύων | κτυπεῖται | ἠχώ | νάπαι | βρέμονται | κισσὸς | θάλλει | nisi quod in *G* duo primi versus finiuntur vocabulis: γυναιξίν et καὶ et vv. 980 et 981 desunt ‖ v. 958 πανταχῇ] πανταχῆ *G* ‖ v. 958b ὄμμα] ὅμμα· *R* ‖ v. 959 *HMIX.* α. deest in codd., idem valet de vv. 962, 966, 969, 977, 985, 990, 995 ‖ vv. 959 et 960 unum versum efficiebant, sed lineola post καὶ picta disiuncti sunt *G* ‖ v. 961 πᾶσα χορομανεῖ] πασαχαρομανεῖ *G* ‖ v. 965 μ' οὖσαν] μ' οὖσαν *R* μοῦσαν *G* | οὐκ] οὐκ' *R* ‖ v. 966 χρῆν] χρὴ accentu in ras. correcto *R* χρὴ *G* ‖ v. 967 ὡς ἐπ'] ὥσπερ *RG* | αὖ τι] αὖ τί *R* αὐτί *G* | καινὸν] καινόν· corr. ex καινὸν· *R*

πρῶτον εὐκύκλου χορείας εὐφυᾶ στῆσαι βάσιν.
ΗΜΙΧ. α. πρόβαινε ποσὶ τὸν Εὐλύραν
μέλπουσα καὶ τὴν τοξοφόρον
Ἄρτεμιν, ἄνασσαν ἁγνήν.
χαῖρ', ὦ Ἑκάεργε,
ὅπαξε δὲ νίκην.
Ἥραν τε τὴν τελείαν
μέλψωμεν ὥσπερ εἰκός,
ἣ πᾶσι τοῖς χοροῖσιν ἐμπαίζει τε καὶ
κλῆδας γάμου φυλάττει.
ΗΜΙΧ. β. Ἑρμῆν τε Νόμιον ἄντομαι
καὶ Πᾶνα καὶ Νύμφας φίλας
ἐπιγελάσαι προθύμως
ταῖς ἡμετέραισι
χαρέντα χορείαις.
ἕξαιρε δὴ προθύμως
διπλῆν χάριν χορείας.
παίσωμεν, ὦ γυναῖκες, οἷάπερ νόμος·
νηστεύομεν δὲ πάντως.
ΚΟΡ. ἀλλ' εἶ' ἐπ' ἄλλ' ἀνάστρεφ' εὐρύθμῳ ποδί,
969—976 = 977—984

ADNOTATIO CRITICA.

v. 968 εὐφυᾶ Brunckius. — v. 969 πόσι Reisigius. — Εὐλύραν Kusterus. — v. 980 ἡμετέραισι Hermannus. — v. 982 χάριν Bisetus. — v. 984 νηστεύομεν Bentleius.

SCRIPTURAE DISCREPANTIA.

v. 968 εὐφυᾶ] εὐφυῆ *RG* ‖ v. 969 ποσὶ] ποσὶν *RG* | Εὐλύραν] ἐλύραν *RG* ‖ v. 971 ἁγνήν.] ἁγνήν. corr. ex ἁγνὴν. *R* ἁγνὴν *G* ‖ v. 972 Ἑκάεργε,] ἑκαεργε· *R* corr. in ἑκάεργε· R^2 ἑκάεργε *G* ‖ v. 974 εἰκός,] εἰκός· corr. ex εἰκὸς· *R* εἰκὸς *G* ‖ v. 975 ἣ] ἢ (sic) *It* ‖ v. 976 κλῆδας] κλήδας *R* κλῆδας *G* ‖ v. 979 ἐπιγελάσαι] ἐπιγελᾶσαι *RG* ‖ vv. 980 et 981 a ταῖς ἡμετέραισι usque ad προθύμως vocem desunt in *G* ‖ v. 980 ἡμετέραισι] ἡμετέραις *R* ‖ v. 981 ἕξαιρε] ἐξαιρε *R* ‖ v. 982 διπλῆν χάριν] διπλὴν χαίρειν *R* δὲ πλὴν χαίρειν *G* ‖ v. 983 παίσωμεν] παισωμεν *R* corr. in παίσωμεν R^2 ‖ v. 984 νηστεύομεν] νηστεύωμεν *RG* | δὲ] δε *R* corr. in δὲ R^2 ‖ v. 985 ἀλλ' εἶ' ἐπ' ἄλλ'] ἀλλ' ειαπάλλ' (hoc corr. ex παλλ' R^2) *R* ἀλλει' ἀπ' ἀλλ' *G*

τόρευε πᾶσαν ᾠδήν·
ἡγοῦ δέ γ' ὧδε ταύτης
αὐτός, σὺ κισσοφόρ' ὤναξ
Βακχεῖ'· ἐγὼ δὲ κώμοις
σὲ φιλοχόροισι μέλψω.

HMIX. α. Εὔιε, ὦ Διὸς σύ,
Βρόμιε, καὶ Σεμέλας παῖ,
χοροῖς τερπόμενος
κατ' ὄρεα Νυμφᾶν. ἐρατοῖς σὺν ὕμνοις,
ὦ Εὔι', Εὔι', εὐοῖ
* * ἀναχορεύων.

HMIX. β. ἀμφὶ δὲ σοὶ κτυπεῖται
Κιθαιρώνιος ἠχώ,
μελάμφυλλά τ' ὄρη
δάσκια πετρώδεις τε νάπαι βρέμονται·
κύκλῳ δὲ περὶ σὲ κισσὸς

990—994 = 995—1000

ADNOTATIO CRITICA.

vv. 986—88 partim ex Hermanni (*κισσοφόρ' ὤναξ Βακχεῖ'*), partim ex mea (*ὧδε ταύτης αὐτός,*) coniectura, quamvis admodum incerta, restituere conatus sum. — v. 989 *φιλοχόροισι* Bentleius. — v. 990 Engerus emendavit. — v. 993 *σὺν* e coniectura scripsi. — v. 994a Hermannum secutus sum. — v. 994b ante *ἀναχορεύων* verbum aliquod excidisse videtur, velut: *ἥκεις γὰρ.* — v. 996 *Κιθαιρώνιος* Zanettus. — vv. 997 et 998 restituit Engerus.

SCRIPTURAE DISCREPANTIA.

v. 986 *ᾠδήν·*] *ὠδὴν G* ‖ vv. 987 et 988 *δέ γ' ὧδε ταύτης αὐτός,*] *δέ γ' ὧδ' αὐτὸς R δ' ἐγὼ δ' αὐτὸς G* ‖ vv. 988 et 989a *σὺ κισσοφόρ' ὤναξ Βακχεῖ'·*] *σὺ κισσοφόρε βακχειε* (corr. in *βάκχειε* R^2) *δέσποτ' R σὺ κισσοφόρε βάκχειε δέσποτ' G* ‖ v. 989 *σὲ*] *σε R* corr. in *σὲ* R^2 *σε G* | *φιλοχόροισι*] *φιλοχόροισιν RG* ‖ v. 990 *Εὔιε, ὦ Διὸς σύ,*] *εὔιον ὦ διόνυσε RG* ‖ v. 993 *κατ' ὄρεα*] *κατόρεα R* | *σὺν*] *ἐν RG* ‖ v. 994 *ὦ Εὔι', Εὔι', εὐοῖ * * ἀναχορεύων.*] *εὔιον· εὔιον· εὐοῖ ἀναχορεύων* (corr. ex *ανχορεύων R*, spiritum super *α* in *ἀναχορεύων* adiecit R^2) *R εὔιον εὔιον εὐοῖ ἀναχορεύων G* ‖ v. 995 *ἀμφὶ*] *ἀμφι R* corr. in *ἀμφὶ* R^2 | *δὲ*] *δε R* | *σοὶ* | *συῖ R συὶ G* ‖ v. 996 *Κιθαιρώνιος*] *κιθαρώνιος RG* ‖ v. 997 *μελάμφυλλά*] *μελάνφυλλα R* | *ὄρη*] *ορη R* corr. in *ὀρη* R^2 ‖ v. 998 *πετρώδεις τε νάπαι*] *καὶ νάπαι· πετρώδεις R καὶ νάπαι πετρώδεις G* ‖ v. 999 *κύκλῳ*] *κύκλω G*

εὐπέταλος ἕλικι θάλλει.
ΤΟΞ. ἐνταῦτα νῦν οἰμῶξι πρὸς τὴν αἰτρίαν.
ΚΗΔ. ὦ τοξόθ', ἱκετεύω σε. ΤΟΞ. μή μ' ἱκετεῦσι σύ.
ΚΗΔ. χάλασον τὸν ἧλον. ΤΟΞ. ἀλλὰ ταῦτα δρᾶσ' ἐγώ.
ΚΗΔ. οἶμοι κακοδαίμων, μᾶλλον ἐπικρούεις σύ γε.
ΤΟΞ. ἔτι μᾶλλο βοῦλις; ΚΗΔ. ἀτταταῖ ἰαττατταῖ·
κακῶς ἀπόλοιο. ΤΟΞ. σῖγα, κακοδαίμω γέρω.
πέρ' ἐγὼ 'ξινίγκι πορμός, ἵνα πυλάξι σοι.
ΚΗΔ. ταυτὶ τὰ βέλτιστ' ἀπολέλαυκ' Εὐριπίδου.
ἔα· θεοί, Ζεῦ σῶτερ, εἰσὶν ἐλπίδες.
ἀνὴρ ἔοικεν οὐ προδώσειν, ἀλλά μοι
σημεῖον ὑπεδήλωσε Περσεὺς ἐκδραμών,
ὅτι δεῖ με γίγνεσθ' Ἀνδρομέδαν· πάντως δέ μοι
τὰ δέσμ' ὑπάρχει. δῆλον οὖν τοῦτ' ἔσθ' ὅτι

ADNOTATIO CRITICA.

v. 1001 *οἰμῶξι* Brunckius. — v. 1002 *ἱκετεῦσι* Brunckius. — v. 1003 *δρᾶσ'* Lentingius. — v. 1005 *μᾶλλο* Bentleius. — *ἰαττατταῖ* Dindorfius. — v. 1006 *κακοδαίμω γέρω* scripsi codicum vestigia secutus. — v. 1007 *'ξινίγκι* Engerus. — v. 1010 fortasse scribendum est: *ἀνὴρ μ' ἔοικεν*. — v. 1011 *ὑπεδήλωσε* Brunckius. — v. 1013 *τοῦτ'* inseruit Dobraeus.

SCRIPTURAE DISCREPANTIA.

v. 1000 *εὐπέταλος*] *εὐπέταλος· R εὐπέταλος* corr. ex *εὐπέταλλος G* ‖ v. 1001 *ΤΟΞ.*] — *R τοξο*$^{\tau}$ add. R^2 *τοξ*$^{\tau}$*ό* est in *G* | *οἰμῶξι*] *οἰμώξει RG* | *τ* in *αἰτρίαν*] in ras. est, corr. ex *θ*, ut videtur *R* ‖ v. 1002 *ΚΗΔ.*] — *R μνη*$^{\sigma}$ add. R^2 *μνη*$^{\sigma\acute{\iota}}$ est in *G* | *ΤΟΞ.*] : *R* | *μή μ' ἱκετεῦσι*] *μή μ' ἱκετεύση R μὴ μ' ἱκετεύση G* ‖ v. 1003 *ΚΗΔ.*] — *RG* | *ΤΟΞ.*] : *R* — *G* | *δρᾶσ'*] *δρᾶισ R δρᾶσ G* ‖ v. 1004 *ΚΗΔ.*] — *RG* | *ἐπικρούεις*] *ἐπικρούσεις R* ‖ v. 1005 *ΤΟΞ.*] — *RG* | *μᾶλλο*] *μᾶλλον RG* | *ΚΗΔ.*] : *R* — *G* | *ἀτταταῖ ἰαττατταῖ·*] *ἀτταταῖ· τατταταὶ R ἀτταταὶ* — *τατταταὶ G* ‖ v. 1006 *κακῶς*] — *κακῶς RG* | *ΤΟΞ.*] : *R* — *G* | *σῖγα*] *σίγα G* | *κακοδαίμω*] *κακοδαίμω R* mut. in *κακοδαίμων* R^2 *κακοδαίμων G* | *γέρω*] *γέρων* ras. corr. in *γέρον R γέρων* corr. in *γέρον G* ‖ v. 1007 *πέρ'*] *περ RG* | *'ξινίγκι*] *ξεινίγκι R ξυνίγκι G* | *ἵνα*] *ἵνα RG* | *πυλάξι*] *πυλαξι R* corr. in *πυλάξι* R^2 ‖ v. 1008 *ΚΗΔ.*] omm. *RG* ‖ v. 1009 *ἔα·*] *ἑα R* ‖ v. 1010 *ἀνὴρ*] *ἀνὴρ RG* ‖ v. 1011 *ὑπεδήλωσε*] *ὑπεδήλωσεν RG* ‖ v. 1012 alterum *α* in *ἀνδρομέδαν*] in ras. scripsit R^2 | *πάντως*] corr. ex *παντως* R^2 ‖ v. 1013 *τοῦτ'*] omm. *RG* | *ἔσθ'*] *ἐσθ' G*

ἦξει με σώσων· οὐ γὰρ ἂν παρέπτετο.
ΕΥΡ. φίλαι παρθένοι, φίλαι,
πῶς ἄν οὖν
ἐπέλθοιμι καὶ
τὸν Σκύθην λάθοιμι;
κλύεις ὦ πρὸς Αἰδοῦς σὺ τὰν ἐν ἄντροις;
κατάνευσον, ἔασον ὡς
τὴν γυναῖκά μ' ἐλθεῖν.
ΚΗΔ. ἄνοικτος ὅς μ' ἔδησε τὸν
πολυστονώτατον βροτῶν.
μόλις δὲ γραῖαν ἀποφυγὼν
σαπράν, ἀπωλόμην ὅμως.
ὅδε γὰρ ὁ Σκύθης πάλαι μοι φύλαξ
ἐφεστὼς ὁλοὸν ἄφιλον ἐκρέμασεν
κόραξι δεῖπνον. ὁρᾷς; οὐ χοροῖ-
σιν, οὐδ' ἡλίκων ὑπὸ νεανίδων
* * κημὸν ἕστηκ' ἔχουσ',

ADNOTATIO CRITICA.

v. 1014 *παρέπτετο* Brunckius. — v. 1016 *πῶς ἄν οὖν* Hermannus. — v. 1017 *ἐπέλθοιμι* Brunckius. — v. 1018 *λάθοιμι* Brunckius. — v. 1019 in verbis *ὦ πρὸς Αἰδοῦς σὺ τὰν* Seidlerum secutus sum, nisi quod pro *σὲ* Seidleri scripsi *σὺ*. Nam chorum vel potius eam chori mulierem, quae coryphaei agit partes, Euripides alloquitur. — v. 1023 *πολυστονώτατον* Burgesius. — v. 1026 *πάλαι μοι φύλαξ* Engerus. — v. 1027 *ἐφεστὼς* Meinekius. — *ἐκρέμασεν* Meinekius. — v. 1030 *ἡλίκων ὑπὸ* Hermannus. — v. 1031 *ψῆφον* glossema esse vidit Hermannus. Excidisse videtur verbum velut: *προπεμφθεῖσα* (⏑ – – ⏑).

SCRIPTURAE DISCREPANTIA.

v. 1014 *σώσων*] *σώσον R* mut. in *σῶσον* R^2 | *ἂν*] *ἀν G* | *παρέπτετο*] *παρέπτατο RG* ‖ v. 1015 *ΕΥΡ.*] om. *R* *ευρι*$^{\pi}$ adscripsit R^2 *ευ*$^{\pi}$*ρί* est in *G* ‖ v. 1016 *ἂν οὖν*] *ἄν RG* ‖ v. 1017 *ἐπέλθοιμι*] *ἀπέλθοιμι RG* ‖ v. 1018 *λάθοιμι*] *λάβοιμι RG* ‖ v. 1019 *πρὸς Αἰδοῦς σὺ τὰν*] *προσαιδουσσαι* (mut. in *προσαιδοὺσσαι* R^2) *τὰς R* *προσαιδοῦσσαι τὰς G* ‖ v. 1022 *ΚΗΔ.*] om. *R* *μνῆ*$^{\sigma}$ adscr. R^2 *μνη*$^{\sigma\acute{\iota}}$ est in *G* ‖ v. 1023 *πολυστονώτατον*] *πολυπονώτατον RG* ‖ vv. 1026 et 1027 *πάλαι μοι φύλαξ ἐφεστὼς*] *φύλαξ. πάλαι ἐφεστηκ' R* *φύλαξ πάλαι ἐφέστηκ' G* ‖ v. 1028 *ἐκρέμασεν*] *ἐκρέμασε RG* ‖ v. 1030 *ἡλίκων ὑπὸ*] *ὑφηλίκων R ὑφ' ἡλίκων G* ‖ v. 1031 * * *κημὸν*] *ψῆφον κημὸν RG* | *ἕστηκ'*] *έστηκ' R ἕστηκ' G*

ἀλλ' ἐν πυκνοῖς δεσμοῖσιν ἐμ-
πεπλεγμένη κήτει βορᾶ
Γλαυκέτῃ πρόκειμαι.
γαμηλίῳ μὲν οὐ ξὺν
παιῶνι, δεσμίῳ δέ,
γοᾶσθέ μ', ὦ γυναῖκες, ὡς
μέλεα μὲν πέπονθα, μέλεος,
ὦ τάλας ἐγώ, τάλας,
ἀπὸ δὲ συγγόνων ἄλλ' ἄν ἄνομα πάθεα,
φῶτά τε λιτομέναν, πολυδάκρυτον Ἀί-
δα γόον φλέγουσαν,
αἰαῖ, αἰαῖ,
ὃς ἔμ' ἀπεξύρησε πρῶτον,
ὃς ἐμὲ κροκόεν τόδ' ἐνέδυσεν·
ἐπὶ δὲ τοῖσδ' εἰς τόδ' ἀνέπεμψεν
ἱερόν, ἔνθα γυναῖκες.
ἰὼ μοίρας ἄτεγκτε δαίμων·
ὦ κατάρατος ἐγώ·

ADNOTATIO CRITICA.

v. 1039 ἄλλ' Scaliger. — ἄν ἄνομα Fritzschius. — v. 1040 φῶτά τε cum Hermanno scripsi, sed nescio, an praestet, ut scribamus: φῶτά με, cfr. Equitum vv. 781 et 783. — v. 1041 φλέγουσαν Musgravius. — v. 1044 τόδ' inseruit Bergkius. — v. 1045 τοῖσδ' εἰς Hermannus. — v. 1047 μοι in ἰὼ μοι μοίρας codicum delevit Hermannus. — ἄτεγκτε Zanettus.

SCRIPTURAE DISCREPANTIA.

v. 1032 ἐμπεπλεγμένη] ἐνπεπλεγμένη· *R* ‖ v. 1034 Γλαυκέτῃ] γλαυκετῃ *R* ‖ vv. 1034 et 1035 ξὺν παιῶνι,] ξυμπαιῶνι· *R* ξυμπαιῶνι *G* | δέ,] δε *R* corr. in δὲ R^2 δὲ *G* ‖ v. 1039 ἄλλ' ἄν] αλλὰν *R* corr. in ἀλλὰν R^2 ἀλλὰν est in *G* ‖ v. 1040 φῶτά τε] φῶτα *RG* | λιτομέναν,] λιτομεναν· *R* corr. in λιτομέναν· R^2 λιτομέναν est in *G* ‖ v. 1041 φλέγουσαν,] φεύγουσαν· *R* φεύγουσαν *G* ‖ v. 1042 αἰαῖ, αἰαῖ,] αἰ αἰ ἀὶ αἰ ἐἒ *R* αἳ αἳ αἳ αἳ ἓ ἓ *G* ‖ v. 1043 ὃς ἔμ'] ὁσὲμ' *R* ὃσ' εμ *G* | ἀπεξύρησε] απεξυρησε ex απεξευησε ut videtur corr. *R* deinde in απεξύρησε corr. R^2 ‖ v. 1044 ὃς ἐμὲ] δσεμὲ *R* corr. in ὃσ ἐμὲ R^2 ὅς ἐμέ est in *G* | κροκόεν τόδ'] κροκόεντ' *RG* | ἐνέδυσεν·] ενέδυσεν· *R* ἐνέδυσεν *G* ‖ v. 1045 τοῖσδ' εἰς] τοῖσδε· *R* τοῖσδε *G* | τόδ'] τό δ' *G* ‖ v. 1047 ἰὼ μοίρας] ἰὼ μοι μοίρας *RG* | ἄτεγκτε] ἄνετικτε *R* ἀνέτικτε *G*

τίς ἐμὸν οὐκ ἐπόψεται
πάθος ἀμέγαρτον ἐπὶ κακῶν παρουσίᾳ;
εἶθε με πυρφόρος αἰθέρος ἀστὴρ
τὸν δύσμορον ἐξολέσειεν.
οὐ γὰρ ἔτ' ἀθανάταν φλόγα λεύσσειν
ἐστὶν ἐμοὶ φίλον, ὡς ἐκρεμάσθην
λαιμοτόμητ' ἄχη δαιμόνι', αἰόλαν
νέκυσιν ἔπι πορείαν.
ΕΥΡ. χαῖρ', ὦ φίλη παῖ· τὸν δὲ πατέρα Κηφέα,
ὃς σ' ἐξέθηκεν, ἀπολέσειαν οἱ θεοί.
ΚΗΔ. σὺ δ' εἴ τίς, ἥτις τοὐμὸν ὤκτειρας πάθος;
ΕΥΡ. Ἥκω, λόγων ἀντῳδὸς ἐπικοκκάστρια,
ἥπερ πέρυσιν ἐν τῷδε ταὐτῷ χωρίῳ
Εὐριπίδῃ καὐτὴ ξυνηγωνιζόμην.

ADNOTATIO CRITICA.

v. 1051 *τὸν δύσμορον* Brunckius scholiastam secutus. Ceterum *διχῶς* scholii pertinet ad versum antecedentem scil. *ἢ τὸν ἥλιον ἢ τὸν κεραυνόν*. — v. 1054 *λαιμοτόμητ'* Dindorfius. — *δαιμόνι'*, Fritzschius, sed respiciens ad scholium: *σκοτεινήν*, nescio, an scribendum sit: *δαιμόνων, ἀΐδηλον*. — v. 1055 *ἔπι* Fritzschius.

SCRIPTURAE DISCREPANTIA.

in vv. 1015—1055 ita verba distributa sunt, ut singuli versus finiantur vocibus: *φίλαι,* | *καὶ* | *λάθοιμι* | *ὦ* | *ἄντροις* | *ὡς* | *ἐλθεῖν* | *τὸν* | *βροτῶν* | *ἀποφυγὼν* | *ὅμως* | *φύλαξ* | *ὀλοὸν* | *κόραξι* | *χοροῖσιν* | *νεανίδων* | *ἔχου* (in *ἔχουσ'*) | *ἐμπεπλεγμένη* | *πρόκειμαι* | *ξυμ* (in *ξυμπαιῶνι*) | *δὲ* | *ὡς* | *μέλεος* | *τάλας* | *ἀλλὰν* (in *ἄλλ' ἄν* | *ἄνομα*) | *λιτομέναν* | *φλέγουσαν* | *αἰαῖ ἐὲ* | *πρῶτον* | *ἐνέδυσεν* | *ἀνέπεμψεν* | *γυναῖκες* | *δαίμων* | *ἐπόψεται* | *παρουσίᾳ* | *ἀστὴρ* | *ἐξολέσειεν* | *λεύσσειν* | *ἐκρεμάσθην* | *αἰόλαν* | *πορείαν* ‖ v. 1048 *τίς ἐμὸν*] *τὶ σεμνὸν G* | *ἐπόψεται*] *ὄψεται* ut videtur *R* corr. in *ἐπόψεται* R^2 ‖ v. 1049 *παρουσίᾳ;*] *παρουσια R παρουσία G* ‖ v. 1050 *εἶθε με*] *εἴθέ με· R* ‖ v. 1051 *δύσμορον*] *βάρβαρον RG* ‖ v. 1052 *λεύσσειν*] *λεύσειν RG* ‖ v. 1054 *λαιμοτόμητ' ἄχη δαιμόνι'*, *αἰόλαν*] *λαιμότ' μήτ' αχη δαιμόνων αἰολαν R λαιμότμητ' ἄχη δαιμόνων αἰόλαν G* ‖ v. 1055 *ἔπι*] *ἐπι RG* ‖ v. 1056 *ΕΥΡ.*] — *R ευρ*$^{\pi}$ *ηχω* add. R^2 *ευρ*$^{\pi}$ *ἠχώ* est in *G* ‖ v. 1058 *ΚΗΔ.*] omm. *RG* | *εἶ τίς, ἥτις*] *εί τις ἥτις· R εἶ τις ἥτις G* | *ὤκτειρας*] *ὤκτειρας R* ‖ v. 1059 *ΕΥΡ.*] omm. *RG* | *ἐπικοκκάστρια,*] *ἐπικοκκάστρια·* corr. ex *ἐπικοκκάστρεια· R ἐπικοκκάστρεια* est in *G* ‖ v. 1060 *τῷδε ταὐτῷ*] *τῶδε ταυτῷ R τῷδε ταυτῷ G* ‖ v. 1061 *καὐτὴ*] *καὶ αὐτὴ RG*

ἀλλ', ὦ τέκνον, σὲ μὲν τὸ σαυτῆς χρὴ ποιεῖν,
κλάειν ἐλεινῶς. ΚΗΔ. σὲ δ' ἐπικλάειν ὕστερον.
ΕΥΡ. ἐμοὶ μελήσει ταῦτά γ'. ἀλλ' ἄρχου λόγων.
ΚΗΔ. ὦ Νὺξ ἱερά,
πῶς μακρὸν ἵππευμα διώκεις,
ἀστεροειδέα νῶτα διφρεύουσ'
αἰθέρος ἱρᾶς,
τοῦ σεμνοτάτου δι' Ὀλύμπου;
ΕΥΡ. δι' Ὀλύμπου;
ΚΗΔ. τί ποτ' Ἀνδρομέδα περίαλλα κακῶν
μέρος ἐξέλαχον ΕΥΡ. μέρος ἐξέλαχον
ΚΗΔ. θανάτου τλήμων; ΕΥΡ. θανάτου τλήμων;
ΚΗΔ. ἀπολεῖς μ', ὦ γραῦ, στωμυλλομένη.
ΕΥΡ. στωμυλλομένη. ΚΗΔ. νὴ Δί' ὀχληρά γ'
εἰσήρρηκας λίαν. ΕΥΡ. λίαν.

ADNOTATIO CRITICA.

v. 1062 *τὸ σαυτῆς* Dindorfius. — v. 1063 *κλάειν* et *ἐπικλάειν* Brunckius. — v. 1066 *πῶς* Meinekius. — v. 1068 *ἱρᾶς* Hermannus. — v. 1073 *γραῦ* Porsonus. — *στωμυλλομένη* Bentleius.

SCRIPTURAE DISCREPANTIA.

v. 1062 *σὲ*] *σε G* | *τὸ σαυτῆς*] *τοσαύτης RG* | *ποιεῖν*,] *ποεῖν RG* ‖ v. 1063 *κλάειν*] *κλαίειν RG* | *ἐλεινῶς*] *ἐλεεινῶς* corr. ex *ἐλεεινὸς G* | *ΚΗΔ.*] : *R* μνῆ add. R^2 om. spatio relicto *G* | *σὲ*] *σε R σέ G* | *ἐπικλάειν*] *ἐπικλαίειν RG* | *ὕστερον.*] *ὑστερον R* corr. in *ὕστερον* R^2 ‖ v. 1064 *ΕΥΡ.*] omm. *RG* | *ἄρχου*] *ἄρχου R* ‖ v. 1065 *ΚΗΔ.*] om. *R* ὁ μνησίλοχος ὡς ἀνδρομέδα add. R^2 μνή σ ἀνδρ μδ est in *G* ‖ v. 1066 *πῶς*] *ὡς RG* ‖ v. 1067 *ἀστεροειδέα*] erasus est accentus super *ο* in *R ἀστεροειδέαν* est in *G* | *νῶτα*] *ὠτα G* | *διφρεύουσ'*] *διφρέουσ' R* corr. in *διφρεύουσ'* R^2 ‖ v. 1068 *ἱρᾶς*,] *ἱερᾶς RG* ‖ v. 1069 *ΕΥΡ.*] — *R* ηχω add. R^2 ενρί (corr. ex μνηί) ἠχώ est in *G* | *δι' Ὀλύμπου*] *διολύμπου R* ‖ v. 1070 *ΚΗΔ.*] — *RG* | *περίαλλα*] *περὶ ἄλλα R περὶ ἄλλα G* ‖ v. 1071 prius *ἐξέλαχον*] corr. ex *ἐξελέγχων R* | *ΕΥΡ.*] — *RG* ‖ v. 1072 *ΚΗΔ.*] — *RG* | *ΕΥΡ.*] — *RG* ‖ v. 1073 *ΚΗΔ.*] — *RG* | *γραῦ*] *γραῦς RG* | *στωμυλλομένη*] *στωμυλωμένη* ras. corr. ex *στωμυλλωμένη R στωμυλομένη* est in *G* ‖ v. 1074 *ΕΥΡ.*] om. *R* — *G* | *στωμυλλομένη*] *στωμυλωμένη R στωμυλομένη G* | *ΚΗΔ.*] — *RG* | *νὴ Δί'*] *νη δία· R νή δία G* ‖ v. 1075 *λίαν*] — *λίαν R* | *ΕΥΡ. λίαν*] — *λίαν RG*

ΚΗΔ. ὦγάθ', ἔασόν με μονῳδῆσαι,
καὶ χαριεῖ μοι. παῦσαι. *ΕΥΡ.* παῦσαι.
ΚΗΔ. βάλλ' ἐς κόρακας. *ΕΥΡ.* βάλλ' ἐς κόρακας.
[*ΚΗΔ.* τί κακόν; *ΕΥΡ.* τί κακόν; *ΚΗΔ.* ληρεῖς. *ΕΥΡ.*
ληρεῖς.]
ΚΗΔ. οἴμωξ'. *ΕΥΡ.* οἴμωξ'. *ΚΗΔ.* ὀτότυξ'. *ΕΥΡ.* ὀτότυξ'.
[*ΤΟΞ.* οὗτος, σί λαλῖς; *ΕΥΡ.* οὗτος, σί λαλῖς;
ΤΟΞ. πρυτάνεις καλέσω; *ΕΥΡ.* πρυτάνεις καλέσω;
ΤΟΞ. σί κακόν; *ΕΥΡ.* σί κακόν;]
ΤΟΞ. πῶτε τὸ πωνή; *ΕΥΡ.* πῶτε τὸ πωνή;

ADNOTATIO CRITICA.

v. 1080 *τί κακόν* Bentleius, sed versus spurius esse mihi videtur. — v. 1083 *οὗτος, σί* Brunckius. — *λαλῖς* Dindorfius. — vv. 1083—1085 ut spurios uncis seclusi. — v. 1086 verba divisit Tyrwhittus.

SCRIPTURAE DISCREPANTIA.

v. 1076 *ΚΗΔ.*] — *RG* | ὦγάθ'] ὦ 'γάθ' *G* | *μονῳδῆσαι*] *μονωδῆσαι RG* ‖ verba in vv. 1065—1077 ita distributa sunt, ut singuli versus finiantur vocibus: *ἱερὰ* | *διώκεις* | *διῳρεύου* (*σ'* insequenti versui adiectum est) | *ἱερᾶς* | *Ὀλύμπου* | *Ὀλύμπου* | *κακῶν* | *ἐξέλαχον* | *ἐξέλαχον* | *τλήμων* | *τλήμων* | *στωμυλλομένη* | *στωμυλλομένη* | *εἰσήρρηκας* | *λίαν* | *λίαν* | *μονωδῆσαι RG* ‖ v. 1078 prius *παῦσαι*] — *παυσαι R* corr. in — *παῦσαι R*^{2} — *παῦσαι* est in *G* | *ΕΥΡ.*] — *RG* ‖ v. 1079 *ΚΗΔ.*] — *RG* | *βάλλ'*] *βάλλ R* | *ΕΥΡ.*] — *RG* | *βάλλ'*] *βάλλ R* ‖ v. 1080 *ΚΗΔ. τί κακόν;*] — *τί τὸ κακόν· R* — *τί τὸ κακὸν G* | *ΕΥΡ. τί κακόν;*] — *τί τὸ κακόν· R* — *τί τὸ κακὸν G* | *ΚΗΔ.*] — *RG* | *ΕΥΡ.*] — *RG* | post *ληρεῖς* utroque loco non interpungitur *RG* ‖ v. 1081 *ΚΗΔ. οἴμωξ'*] — *οἴμωξε RG* | *ΕΥΡ. οἴμωξ'*] — *οἴμωξε RG* | *ΚΗΔ. ὀτότυξ'*] — *ὀτότυξε RG* | *ΕΥΡ. ὀτότυξ'*] — *ὀτότυξε RG* ‖ v. 1082 *ΤΟΞ.*] — *R σκῦ* add. *R*^{2} *σκῦ* est in *G* | *οὗτος* prius] *οὗτος R οὗτος G* | *σί*] *τί R τι G* | *λαλῖς;*] *λαλεῖς· R* corr. in *λαλίς· R*^{2} *λαλεῖς* est in *G* | *ΕΥΡ.*] — *R ηχω* add. *R*^{2} *ἠχώ* est in *G* | *οὗτος*] *οὗτος RG* | *σί*] *τί RG* | *λαλῖς;*] *λαλεῖς· R* corr. in *λαλίς· R*^{2} *λαλεῖς* est in *G* ‖ v. 1084 *ΤΟΞ.*] — *R σκῦ* in ras. add. *R*^{2} *σκῦ* est in G | *καλέσω;*] *καλέσω· R καλέσω G* | *ΕΥΡ.*] — *R ἠχώ G* | *καλέσω;*] *καλέσω· R καλέσω G* ‖ v. 1085 *ΤΟΞ.*] — *R σκῦ G* | *σί κακόν;* prius] *σὶ κακόν· R σί κακόν G* | *ΕΥΡ.*] — *R ἠχώ G* | *σί κακόν;*] *σὶ κακόν· R σὶ κακὸν G* ‖ v. 1086 *ΤΟΞ.*] — *RG* | *πῶτε* prius] *πρῶτε R* corr. in *πωτε R*^{2} *πωτε* est in *G* | *τὸ πωνή;*] *το πωνη· R το πωνη G* | *ΕΥΡ.*] — *RG* | *πῶτε*] *πρῶτε R* corr. in *πωτε R*^{2} *πωτε* est in *G* | *τὸ πωνή;*] *το πωνή R το πωνη G*

ΤΟΞ. σὺ λαλῖς; ΕΥΡ. σὺ λαλῖς; ΤΟΞ. κλαύσει. ΕΥΡ. κλαύσει.
ΤΟΞ. κακκάσκις μοι; ΕΥΡ. κακκάσκις μοι;
ΚΗΔ. μὰ Δί' ἀλλὰ γυνὴ πλησίον αὕτη.
ΕΥΡ. πλησίον αὕτη.
ΤΟΞ. ποῦ 'στ' ἡ μιαρά; ΕΥΡ. ποῦ 'στ' ἡ μιαρά;
ΚΗΔ. καὶ δὴ φεύγει. ΕΥΡ. καὶ δὴ φεύγει.
ΤΟΞ. ποῖ ποῖ πεύγεις; ΕΥΡ. ποῖ ποῖ πεύγεις;
ΤΟΞ. οὐ καιρήσεις. ΕΥΡ. οὐ καιρήσεις.
ΤΟΞ. ἔτι γὰρ γρύζεις; ΕΥΡ. ἔτι γὰρ γρύζεις;
ΤΟΞ. λαβὲ τὴ μιαρά. ΕΥΡ. λαβὲ τὴ μιαρά.
ΤΟΞ. λάλο καὶ κατάρατο γύναικο.
ΕΥΡ. ὦ θεοί, τίν' ἐς γῆν βαρβάρων ἀφίγμεθα
ταχεῖ πεδίλῳ; διὰ μέσου γὰρ αἰθέρος

ADNOTATIO CRITICA.

v. 1087 λαλῖς Dindorfius. — κλαύσει Brunckius, sed scriptura codicum et scholium magis ad κλαύσαιν i. e. κλαύσαις ἄν ducere videntur. — v. 1089 κακκάσκις Fritzschius. — v. 1092 'στ' ἡ Brunckius. — vv. 1092a et b codicum vestigia secutus repetitionem restitui, idem in vv. 1093 et 1094 fecit Brunckius. — v. 1093 πεύγεις Engerus. — v. 1094 καιρήσεις scholiasta. — v. 1096 τὴ Bothius.

SCRIPTURAE DISCREPANTIA.

v. 1087 ΤΟΞ.] — *RG* | λαλῖς;] λαλεις· *R* corr. in λαλεῖς· R^2 λαλεῖς est in *G* | ΕΥΡ.] — *RG* | λαλῖς;] λαλεις· *R* corr. in λαλεῖς· R^2 λαλεῖς est in *G* | ΤΟΞ.] — *RG* | κλαύσει] κλαύσαιμι *RG* | ΕΥΡ.] — *RG* | κλαύσει] κλαύσαιμι *RG* ‖ v. 1089 ΤΟΞ.] — *RG* | κακκάσκις prius] κακκασκι corr. ex κακασκι *R* κακκασκι corr. ex κακκακις *G* | ΕΥΡ.] — *RG* | κακκάσκις] κακάσκι corr. ex κακκάσκι *R* κακκάσκι est in *G* ‖ v. 1090 ΚΗΔ.] — *RG* ‖ v. 1091 ΕΥΡ.] — *RG* ‖ In vv. 1092a et b, 1093, 1094 repetita verba non leguntur *RG* ‖ v. 1092a ΤΟΞ.] — *RG* | 'στ' ἡ] σθ' ἡ *RG* ‖ v. 1092b ΚΗΔ.] — *R* spatium trium fere litt. rel. *G* ‖ v. 1093 ΤΟΞ.] — *R* om. *G* | πεύγεις;] φεύγεις *RG* ‖ v. 1094 ΤΟΞ.] om. *R* — *G* | οὐ καιρήσεις] οὐκ' αἰρήσεις *R* οὐκ αἰρήσεις *G* ‖ v. 1095 ΤΟΞ.] — *RG* | ΕΥΡ.] — *RG* ‖ v. 1096 ΤΟΞ. λαβὲ τὴ μιαρά] — λάβε τῆι μιαρά *R* — λάβε τῆ μιαρᾶ *G* | ΕΥΡ. λαβὲ τὴ μιαρά] — λάβε τῆ μιαρά *R* — λάβε τῆ μιαρᾶ *G* ‖ v. 1097 ΤΟΞ.] om. *R* — *G* | quatuor huius versus voces accentibus non sunt distinctae *RG* ‖ v. 1098 ΕΥΡ.] — *R* ευρι$^{\pi}$ ως περσευς add. R^2 ευρι$^{\pi}$ περσ^{εὺς} est in *G* | super prius α in βαρβάρων] accentus erasus est in *R*

τέμνων κέλευθον, πόδα τίθημ' ὑπόπτερον,
Περσεύς, πρὸς Ἄργος ναυστολῶν, τὸ Γοργόνος
κάρα κομίζων. ΤΟΞ. τί λέγι; τῇ Γόργος πέρι
τὸ γραμματέο σὺ τὴ κεπαλή; ΕΥΡ. τὴν Γοργόνος
ἔγωγε φημί. ΤΟΞ. Γόργο τοι κἀγὼ λέγι.
ΕΥΡ. ἔα· τίν' ὄχθον τόνδ' ὁρῶ καὶ παρθένου
θεαῖς ὁμοίαν ναῦν ὅπως ὡρμισμένην;
ΚΗΔ. ὦ ξένε, κατοίκτειρόν με τὴν παναθλίαν·
λῦσόν με δεσμῶν. ΤΟΞ. οὐκὶ μὴ λαλῆσι σύ;
κατάρατο· τολμᾷς ἀποτανουμένη λαλᾷς;
ΕΥΡ. ὦ παρθέν', οἰκτείρω σὲ κρεμαμένην ὁρῶν.
ΤΟΞ. οὐ παρτέν' ἐστίν, ἀλλ' ἁμαρτωλὴ γέρων,

ADNOTATIO CRITICA.

vv. 1102 et 1103 τὴ κεπαλή Bothius. — ceterum Fritzschium secutus sum. — vv. 1103 et 1104 τὴν Γοργόνος ἔγωγε φημί verba danda esse omnia Euripidi intellexit Thierschius. — v. 1108 μὴ λαλῆσι Brunckius. — σύ; Blaydesius.

SCRIPTURAE DISCREPANTIA.

v. 1100 τίθημ'] τίθημι *R* ‖ v. 1101 ναυστολῶν] ναυτολων *R* corr. in ναυτολῶν R^2 ναυτολῶν est in *G* ‖ vv. 1102 et 1103 om. *R* adiecit in margine inferiore R^2 om. *G* ‖ v. 1102 ΤΟΞ.] σκῦ R^2 | τῇ Γόργος πέρι] τη γοργόνος πέρι R^2 ‖ v. 1103 τὴ κεπαλή;] τη κεφαλη· R^2 | ΕΥΡ.] om. R^2 | Γοργόνος] γοργόνος. R^2 ‖ v. 1104 ἔγωγε] — ἔγωγε *G* | ΤΟΞ.] : *R* — *G* ‖ v. 1105 ΕΥΡ.] — *RG* | τόνδ'] τόν δ' *G* | παρθένου] πᾶρνον *R* ‖ v. 1106 ὡρμισμένην;] ὡρμισμένην· *R* ‖ v. 1107 ΚΗΔ.] — *R* add. κη ως ανδρομε R^2 κη ἀνδρο est in *G* | ξένε] ξενε *R* corr. in ξένε R^2 ‖ vv. 1078—1097 ita dispositi sunt, ut singuli versus finiantur vocibus: μοι | παῦσαι altero | κόρακας altero | κακόν altero | ληρεῖς altero | οἴμωξε altero | ὀτότυξε altero | λαλῖς altero | καλέσω altero | κακόν altero | πωνή altero | λαλεῖς altero | κλαύσαιμι altero | μοι altero | αὕτη | αὕτη | φεύγει | οὐ καιρήσεις | γρύζεις | γρύζεις | μιαρά altero | γυναικο *RG* ‖ v. 1108 λῦσόν] λύσον *R* corr. in λῦσον R^2 λῦσον est in *G* | ΤΟΞ.] : *R* σκῦ add. R^2 σκύ est in *G* | οὐκὶ μὴ λαλῆσι σύ] οὐκι μὶ λαλῆς σὺ *R* οὐκ ἰμὶ λαλῆς συ *G* ‖ v. 1109 τολμᾷς] τολμαῖς· *R* τολμᾶς *G* | ante ἀποτανουμένη] spatium trium fere litt. relictum in *G* | λαλᾷς] λαλᾶς *RG* ‖ v. 1110 ΕΥΡ.] — *R* ευρι add. R^2 | σὲ] σε *RG* ‖ v. 1111 ΤΟΞ.] — *RG* | παρτέν'] παρτέν *R* | ἐστίν,] ἐστὶν *RG* | ἀλλ'] ἀλλὰ *R* | ἁμαρτωλὴ] ἁμαρτωλὴ *G*

καὶ κλέπτο καὶ πανοῦργο. ΕΥΡ. ληρεῖς, ὦ Σκύθα.
αὕτη γάρ ἐστιν Ἀνδρομέδα παῖς Κηφέως.
ΤΟΞ. σκέψαι τὸ κύστο· μή τι μικτὸν παίνεται;
ΕΥΡ. φέρε δεῦρό μοι τὴν χεῖρ', ἵν' ἅψωμαι κόρης·
φέρε, Σκύθ'· ἀνθρώποισι γὰρ νοσήματα
ἅπασίν ἐστιν· ἐμὲ δὲ καὐτὸν τῆς κόρης
ταύτης ἔρως εἵληφεν. ΤΟΞ. οὐ ζηλῶσί σε·
ἀτὰρ εἰ τὸ πρωκτὸ δεῦρο περιεστραμμέν' ἦν,
οὐκ ἐπτόνησ' ἄν σ' αὐτὸ πυγίζεις ἄγων.
ΕΥΡ. τί δ' οὐκ ἐᾷς λύσαντά μ' αὐτήν, ὦ Σκύθα,
πεσεῖν ἐς εὐνὴν καὶ γαμήλιον λέχος;
ΤΟΞ. εἰ σπόδρ' ἐπιτυμεῖς τὴ γέροντο πύγισο,
τὴ σανίδο τρήσας ἐξόπιστο πρώκτισον.

ADNOTATIO CRITICA.

v. 1114 *κύστο* Scaliger. — Ceterum *μικτὸν* illud Scythae derivandum est a *μιγῆναι*, ut significet: aptum ad coitum. — v. 1115 *φέρε δεῦρό μοι* Bentleius. — nescio, an scribendum sit: *ἵν' ἅψωμαι, φέρε·* — v. 1119 *τὸ πρωκτὸ* Kusterus. — *περιεστραμμέν' ἦν* Blaydesius. — v. 1120 *ἐπτόνησ' ἄν σ'* Blaydesius. — Pro *ἄγων* scribendum esse videtur *ἐγώ*. — v. 1122 *ἐς εὐνὴν* Kusterus. — v. 1123 *τὴ* Bothius. — *γέροντο πύγισο* Tyrwhittus.

SCRIPTURAE DISCREPANTIA.

v. 1112 *ΕΥΡ.*] : *R* — *G* ‖ v. 1113 *ἐστιν*] *ἐστὶν RG* ‖ v. 1114 *ΤΟΞ.*] — sed erasum *R* — *G* | *τὸ κύστο· μή τι*] *τὸ σκυτο μῆτι· R τὸ σηντο μῆτι G* | *παίνεται;*] *παίνεται· R παίνεται G* ‖ v. 1115 *ΕΥΡ.*] Nota personae erasa est in *R* — est in *G* | *φέρε δεῦρό μοι*] *φερε· δεῦρο· δεῦρό μοι R φέρε δεῦρο δεῦρο μοι G* | *χεῖρ', ἵν'*] *χεῖρ' ἵν'* sed *ῖ* corr. ex *α*, scriptum enim erat *χεῖρα G* ‖ v. 1116 erasa est ante versum nota personae *R*, erat —, sed deletum est *G* | *ἀνθρώποισι*] *ἁνθρωποι R* in *ανθρώποισι* corr. R^2 ‖ v. 1117 *ἐστιν*] *εστιν R* | *καὐτὸν*] *καυτὸν R* ‖ v. 1118 *ΤΟΞ.*] : *R* — *G* ‖ v. 1119 *ἀτὰρ*] — *ἀτὰρ R* | *τὸ πρωκτὸ*] *τῶ πρωκτῶ· R τῶ πρωκτῶ G* | *περιεστραμμέν' ἦν*] *περιεστραμμένον RG* | v. 1120 *ἐπτόνησ' ἄν σ' αὐτὸ*] *ἐπτόνησασ αὐτὸ R ἐπόνησας αὐτὸ G* ‖ v. 1121 *ΕΥΡ.*] — *RG* ‖ v. 1122 *ἐς εὐνὴν*] *ἔσθ' ευνὴν R* corr. in *ἔστ' ευνὴν* R^2 *ἐς τ' εὐνὴν* est in *G* ‖ v. 1123 *ΤΟΞ.*] om. *R* — *G* | *ἐπιτυμεῖς*] *ἐπιθυμεῖς R* corr. in *ἐπιτυμεῖς* R^2 | *τὴ γέροντο πύγισο,*] *τῆ γεροντο πυγισο R τη γεροντο πυγισο G* ‖ v. 1124 *τὴ σανίδο τρήσας*] *τὴ σανιδο τρήσας R τῆ σανιδοτρήσας G* | *ἐξόπιστο*] *ἐξοπισθο RG* | *πρώκτισον*] *πρωκτισον R* corr. in *πρώκτισον* R^2 | *πρώκτισον* cum antecedenti *ἐξοπισθο* unam vocem efficit in *G*

ΕΥΡ. μὰ Δί', ἀλλὰ λύσω δεσμά. *ΤΟΞ.* μαστιγῶ σ' ἄρα.
ΕΥΡ. καὶ μὴν ποιήσω τοῦτο. *ΤΟΞ.* τὸ κεπαλή σ' ἄρα
τὸ ξιπομάκαιραν ἀποκεκόψι τουτοῖ.
ΕΥΡ. αἰαῖ. τί δράσω; πρὸς τίνας στρεφθῶ λόγους;
ἀλλ' οὐ γὰρ ἂν δέξαιτο βάρβαρος φύσις.
σκαιοῖσι γάρ τοι καινὰ προσφέρων σοφὰ
μάτην ἀναλίσκοις ἄν, ἀλλ' ἄλλην τινὰ
τούτῳ πρέπουσαν μηχανὴν προσοιστέον.
ΤΟΞ. μιαρὸς ἀλώπηξ, οἷον ἐπιτήκιζέ μοι.
ΚΗΔ. μέμνησο Περσεῦ μ' ὡς καταλείπεις ἀθλίαν.
ΤΟΞ. πληγὰς σὺ τῇ μάστιγαν ἐπιτυμεῖς λαβεῖν;
ΚΟΡ. Παλλάδα τὴν φιλόχορον ἐμοὶ
δεῦρο καλεῖν νόμος εἰς χορόν,
παρθένον, ἄζυγα κούρην.
ΗΜΙΧ. α. ἦ πόλιν ἡμετέραν ἔχει,

ADNOTATIO CRITICA.

v. 1125 *δεσμά* Bisetus. — v. 1126 *κεπαλή σ'* Brunckius. — v. 1127 *ἀποκεκόψι* Brunckius. — v. 1128 *αἰαῖ* Dindorfius. — v. 1129 *γὰρ* e coniectura adieci. — v. 1132 *τούτῳ* Kusterus. — v. 1133 *οἷον* Engerus. — *ἐπιτήκιζέ μοι* Berglerus. — v. 1135 *πληγὰς σὺ* Hamakerus. — v. 1139 *κούρην* Hermannus.

SCRIPTURAE DISCREPANTIA.

1125 *ΕΥΡ.*] — *RG* | *δεσμά*] *δέμας RG* | *ΤΟΞ.*] : *R* — *G* ‖ v. 1126 *ΕΥΡ.*] omm. *RG* | *ποιήσω*] *ποήσω RG* | *ΤΟΞ.*] omm. *RG* | *τὸ κεπαλή σ' ἄρα*] : *καὶ παλῆς ἄρα R* corr. in *τὸ κεπαλῆς ἄρα* R^2 *το κεπαλῆς ἄρα* est in *G* ‖ v. 1127 *τὸ ξιπομάκαιραν*] *τὸ ξιπομακαιραν· R το ξιπομακαιραν G* | *ἀποκεκόψι*] *ἀποκέκοιψ' R* corr. in *ἀποκεκόψοι* R^2 *ἀποκεκοψο* est in *G* ‖ v. 1128 *ΕΥΡ.*] — *RG* | *αἰαῖ*] *αἲ αἲ RG* ‖ v. 1129 *οὐ γὰρ ἄν*] *οὐκ' ἄν R οὐκ ἄν G* ‖ v. 1132 *τούτῳ*] *τοῦτο RG* ‖ v. 1133 *ΤΟΞ.*] — *R σκυ* add. R^2 *σκύ* est in *G* | *οἷον ἐπιτήκιζέ*] *οἷον ἐπιτηκίζει RG* ‖ v. 1134 *ΚΗΔ.*] — *R μνῆ* add. R^2 *μνῆ* est in *G* ‖ v. 1135 *ΤΟΞ.*] — *R σκῦ* add. R^2 *σκύ* est in *G* | *πληγὰς σὺ τῇ μάστιγᾶν*] *ἔτι γὰρ σὺ τῇ μαστηγᾶν* (corr. in *μαστηγαν R*, quod in *μαστιγαν* corr. R^2) *R ἔτι γαρ συ τῇ μαστιγ ἄν G* | *λαβεῖν*;] *λαβεῖν· R λαβεῖν G* ‖ v. 1136 *ΚΟΡ.*] om. *R* *χορ* add. R^2 *χορ* est in *G* ‖ v. 1137 *καλεῖν*] corr. ex *καλᾶν R* ‖ v. 1138 *εἰς*] *ες R ἐς G* ‖ v. 1139 *κούρην.*] *κόρην· R κόρην G* ‖ v. 1140 *ΗΜΙΧ. α.*] omm. *RG*

καὶ κράτος φανερὸν μόνη,
κληδοῦχός τε καλεῖται.
KOP. φάνηθ', ὦ τυράννους
στυγοῦσ', ὥσπερ εἰκός.
HMIX. β. δῆμός τοί σε καλεῖ γυναι- 1145
κῶν· ἔχουσα δέ μοι μόλοις
εἰρήνην φιλέορτον.
HMIX. α. ἥκετε δ' εὔφρονες, ἵλαοι,
πότνιαι, ἄλσος ἐς ὑμέτερον·
οὗ δὴ ἀνδράσιν οὐ θέμις εἰσορᾶν 1150
ὄργια σέμν', ἵνα λαμπάσι
φαίνετον ἄμβροτον ὄψιν.
HMIX. β. Θεσμοφόρω πολυποτνία,
ἔλθετον, ἀντόμεθ', ὦ μόλετον, 1155
1140—1142 = 1145—1147
1148—1153 = 1154—1159

ADNOTATIO CRITICA.

v. 1148 ἥκετε δ' Hermannus. — v. 1150 θέμις Hermannus. — v. 1151 σέμν' Hermannus. — vv. 1154 et 1155 transposuit Hermannus. — v. 1154 πολυποτνία Hermannus. — v. 1155 vocabula ita transposui, ut μόλετον in exitu versus collocem.

SCRIPTURAE DISCREPANTIA.

vv. 1136—1159 ita dispositi sunt, ut singuli versus finiantur vocibus: ἐμοὶ | εἰς | παρθένον | κόρην | ἔχει | μόνη | καλεῖται | τυράννους | εἰκός | γυναι (vocis γυναικῶν) | μόλοις | φιλέορτον | ἵλαοι | ὑμέτερον | οὐ | εἰσορᾶν | θεαῖν | φαι (vocis φαίνετον) | ὄψιν | ὦ | πολυποτνία | ἐπηκόω | ἀφίκε (vocis ἀφίκεσθον) | ἡμῖν *RG* ‖ v. 1141 κράτος] κρατὸς *R* corr. in κράτος R^2 ‖ v. 1142 κληδοῦχός] κλῆδοῦχός *R* ‖ Post v. 1142 suo versu στυγνᾶς ὡσσε scripsit *R* expunxit R^2 στυγνὰς ὡς ἐ est in *G* ‖ v. 1144 στυγοῦσ'] στυγνοὺσ *R* corr. in στυγοῦσ R^2 ‖ v. 1145 δῆμός τοί] δῆμος τοὶ *R* δῆμος τοι *G* | γυναι (in γυναι | κῶν)] corr. ex γύναι *G* ‖ Notae illae ante vv. 1143 *KOP.*, 1145 *HMIX. β.*, 1148 *HMIX. α.*, 1154 *HMIX. β.* desunt in codicibus ‖ v. 1148 ἥκετε δ'] ἥκετ' *RG* | εὔφρονες] ευφρονες *R* corr. in εὔφρονες R^2 ‖ v. 1149 ἄλσος] ἅλσος *R* mut. in ἅλσος R^2 | ὑμέτερον] corr. ex ἡμέτερον *G* ‖ v. 1150 ἀνδράσιν] ἀνδρασιν *R* corr. in ἀνδράσιν R^2 | θέμις] θεμιτὸν *RG* ‖ v. 1151 ὄργια] corr. ex ὄργια in *R* | σέμν'] σεμνὰ θεαῖν *RG* ‖ vv. 1154 et 1155 sic in codd. leguntur: μόλετον· (μόλετον *G*) ἔλθετον· (ἔλθετον *G*) ἀντόμεθ' (ἀντώμεθ' *G*) ὦ | θεσμοφόρω πολὺ πότνια· (πολὺ πότνια *G*) *RG*

εἰ καὶ πρότερόν ποτ' ἐπηκόω
ἦλθετε, νῦν ἀφίκεσθ', ἱκε-
τεύομεν, ἐνθάδε χἠμῖν.
ΕΥΡ. γυναῖκες, εἰ βούλεσθε τὸν λοιπὸν χρόνον
σπονδὰς ποιήσασθαι πρὸς ἐμέ, νυνὶ πάρα,
ἐφ' ᾧτ' ἀκοῦσαι μηδὲν ὑπ' ἐμοῦ μηδαμὰ
κακὸν τὸ λοιπόν, ταῦτ' ἐπικηρυκεύομαι.
ΚΟΡ. χρεία δὲ ποία τόνδ' ἐπεισφέρεις λόγον;
ΕΥΡ. ὅδ' ἐστίν, οὑν τῇ σανίδι, κηδεστὴς ἐμός.
ἢν οὖν κομίσωμαι τοῦτον, οὐδὲν μή ποτε
κακῶς ἀκούσεσθ'· ἢν δὲ μὴ πίθησθέ μοι,
ἃ νῦν ὑποικουρεῖτε, τοῖσιν ἀνδράσιν
ἀπὸ τῆς στρατιᾶς παροῦσιν ὑμῶν διαβαλῶ.
ΚΟΡ. τὰ μὲν παρ' ἡμῶν ἴσθι σοι πεπεισμένα·
τὸν βάρβαρον δὲ τοῦτον αὐτὸς πεῖθε σύ.

ADNOTATIO CRITICA.

v. 1158 ἦλθετε Hermannus. — ἀφίκεσθ' Reisigius. — v. 1159 ἐνθάδε χἠμῖν Hermannus. — v. 1167 ἀκούσεσθ' Hirschigius. — πίθησθέ Dindorfius. — v. 1169 nescio, an scribendum sit: παροῦσι πάντα διαβαλῶ. — v. 1171 πεῖθε Scaliger.

SCRIPTURAE DISCREPANTIA.

v. 1156 ἐπηκόω] επηκοω *R* ἐπηκοω *G* ‖ v. 1158 ἦλθετε] ἦλθετον *RG* | ἀφίκεσθ'] ἀφικε | σθον *R* ἀφίκεσθον | σθον sed deletum est prius σθον *G* ‖ v. 1159 ἐνθάδε χἠμῖν] ἐνθαδ ἡμῖν *R* ἐνθάδ' ἡμῖν *G* ‖ v. 1160 ΕΥΡ.] — *R* ευρ$^{\pi}$ add. R^2 | βούλεσθε] βούλεσθαι *R* corr. in βούλεσθε R^2 ‖ v. 1161 ποιήσασθαι] ποήσασθαι· *R* ποήσασθαι *G* | πρὸς ἐμέ,] προσεμε *R* πρόσεμεν *G* | νυνὶ] νυνί *G* ‖ v. 1162 μηδὲν] μὴδὲν *R* | ὑπ' ἐμοῦ] ὑπεμοῦ *R* | μηδαμὰ] μὴδαμὰ *R* μηδαμᾶ *G* ‖ v. 1164 ΚΟΡ.] — *R* $\overset{o}{\chi}$ add. R^2 $\chi\overset{o}{\rho}$ est in *G* | χρεία] χρείᾱ *R* | ποία] ποῖα *R* ποία *G* | τόνδ'] τόν δ' *G* | ἐπεισφέρεις] επεισφερεις *R* ἐπισφέρεις *G* ‖ v. 1165 ΕΥΡ.] — *R* | ὅδ'] ὁδ' *RG* | ἐστίν,] εστὶν *R* ἐστὶν *G* | οὑν] οὖν *RG* ‖ v. 1166 κομίσωμαι τοῦτον,] κομισωμαι· τουτον *R* inter κομίσωμαι et τοῦτον spatium trium fere litt. relictum in *G* ‖ v. 1167 ἀκούσεσθ'] ἀκούσαιτ' *RG* | ἢν δὲ] ἦν δε *R* ἢν δέ *G* | πίθησθέ] πειθησθέ *RG* ‖ v. 1168 ἃ] ᾶ *R* ᾶ *G* | ἀνδράσιν] ἀνδρᾶσιν *R* corr. in ἀνδράσιν R^2 ‖ v. 1170 ΚΟΡ.] omm. *RG* | παρ' ἡμῶν ἴσθι] παρ ημῶν (hoc corr. in ἡμῶν R^2) ἴσθί *R* παρ' ἡμῶν ἴσθί *G* ‖ v. 1171 πεῖθε σύ·] πεῖσαι σύ. *R* πεῖσαι σοι σύ deleto σοι *G*

ΕΥΡ. ἐμὸν· ἔργον ἐστίν· καὶ σόν, ὦλάφιον, ἃ σοι
καθ' ὁδὸν ἔφραζον, ταῦτα μεμνῆσθαι ποιεῖν.
πρῶτον μὲν οὖν διέλθε κἀνακάλπασον.
σὺ δ', ὦ Τερηδών, ἐπαναφύσα Περσικόν.
ΤΟΞ. τί τὸ βόμβο τοῦτο; κῶμό τις ἀνεγείρί μοι.
ΕΥΡ. ἡ παῖς ἔμελλε προμελετᾶν, ὦ τοξότα.
ὀρχησομένη γὰρ ἔρχεθ' ὡς ἄνδρας τινάς.
ΤΟΞ. ὀρκῆσι καὶ μελετῆσιν· οὐ κωλῦσ' ἐγώ.
ὡς ἐλαπρός, ὥσπερ ψύλλο κατὰ τὸ κῴδιο.
ΕΥΡ. φέρε θοἰμάτιον ἄνωθεν, ὦ τέκνον, τοδί·
καθιζομένη δ' ἐπὶ τοῖσι γόνασι τοῦ Σκύθου,
τῷ πόδε πρότεινον, ἵν' ὑπολύσω. ΤΟΞ. ναῖκι ναὶ

ADNOTATIO CRITICA.

v. 1174 *κἀνακάλπασον* Hermannus. — v. 1176 *ἀνεγείρί* Dindorfius. — v. 1179 *μελετῆσιν· οὐ* scripsi, quia hiatus ferri non potest. — *κωλῦσ'* Blaydesius. — v. 1180 *ὡς* et *ὥσπερ* Engerus. — *κῴδιο* Meinekius. — v. 1181 fortasse scribendum est: *φέρε θοἰμάτιον θὲς ἐκποδών, τέκνον, τοδί·* ad *ἐκποδών* cfr. Eccles. v. 507. — v. 1182 *τοῖσι* Bentleius. — v. 1183 *ναῖκι* Dindorfius.

SCRIPTURAE DISCREPANTIA.

v. 1172 *ΕΥΡ.*] — *RG* | *ἐμὸν*] *ἐμὸν γ'* sed deletum est *γ' R* *ἐμόν γ'* est in *G* | *ἔργον ἐστίν·*] *ἔργόν ἐστιν* (ras. corr. ex *ἐστὶν*) *R* *ἔργον ἐστὶν G* | *ὦλάφιον*] *ὦ 'λάφιον G* ‖ v. 1173 *ἔφραζον,*] *ἔφρον· R* | *ποιεῖν*] *ποεῖν RG* ‖ v. 1174 *κἀνακάλπασον*] *κ' ἀνακόλπασον* corr. ex *κ' ἀνἀκόλπασον R κἂν ἀκόλπασον* est in *G* ‖ v. 1175 *Τερηδών,*] *τερηδων R τερηδὼν G* | *ἐπαναφύσα*] *ἐπ' ἀναφύσα R* ‖ v. 1176 *ΤΟΞ.*] — *R σκυ* add. R^2 *σκύ* est in *G* | *τί τὸ βόμβο*] *τὶ το βομβο G* | *κῶμό τις ἀνεγείρί μοι.*] *κωμοτίς ἀνεγείρι μοι· R* *κωμοτίς ἀνεγείρι μοι G* ‖ v. 1177 *ΕΥΡ.*] — *R ευρ$^{\pi}$ὶ ὡς γραῦς* add. R^2 | post v. 1177 in margine dextro minio adscriptum est: *ὡς γραῦς* in *G* ‖ v. 1178 *ἔρχεθ'*] *ἔρχετ' RG* ‖ v. 1179 *ΤΟΞ.*] — *RG* | *ὀρκῆσι*] *ὀρχῆσι· R* corr. in *ὀρκῆσι· R*^{2} *ὄρκησι* est in *G* | *μελετῆσιν*] *μελετῆσι R μελετήσι G* | *κωλῦσ'*] *κωλύσ' RG* ‖ v. 1180 *ὡς*] *ὡς RG* | *ἐλαπρός*] *ἐλαμπρὸς R* corr. in *ἐλαπρὸς R*^{2} *ελαπρὸς* corr. ex *ελλαπρὸς G* | *ὥσπερ*] *ὥσπερ RG* | *ψύλλο κατὰ τὸ κῴδιο*] *ψυλλο κατα το κώδιο RG* ‖ v. 1181 *ΕΥΡ.*] om. *R ευρ$^{\pi}$ὶ ὡς γραῦς* add. R^2 *εὐ γραῦς* est in *G* | *θοἰμάτιον*] *θοιμάτιον RG* | *τοδί*] *τὸδί R* *τοδὶ G* ‖ v. 1182 *ἐπὶ*] *ἐπι R* corr. in *ἐπὶ R*^{2} | *τοῖσι*] *τοῖς RG* ‖ v. 1183 *τῷ*] primo om. postea add. *R* | *πρότεινον*] *προτεινον R* corr. in *πρότεινον R*^{2} | *ΤΟΞ.*] omm. *RG* | *ναῖκι*] *ναίκι RG* | *ναὶ*] erat *ναίκι* ut videtur, sed rasura correctum est in *ναί R*

κάτησο, κάτησο, ναῖκι ναί, σὺ τυγάτριον.
οἴμ' ὡς στέριπο τὸ τιττί', ὥσπερ γογγυλί.
ΕΥΡ. αὔλει σὺ θᾶττον· ἔτι δέδοικας τὸν Σκύθην;
ΤΟΞ. καλό γε τὸ πυγή. κλαῦσί γ', ἂν μὴ 'νδον μένῃς.
εἶεν· καλὴ τὸ σκῆμα περὶ τὸ πόστιον.
ΕΥΡ. καλῶς ἔχει. λαβὲ θοἰμάτιον· ὥρα 'στὶ νῷν
ἤδη βαδίζειν. ΤΟΞ. οὐκὶ πιλῆσι πρῶτά με;
ΕΥΡ. πάνυ γε· φίλησον αὐτόν. ΤΟΞ. ὦ ὦ ὦ, παπαπαπαῖ,
ὡς γλυκερὸ τὸ γλῶσσ', ὥσπερ Ἀττικὸς μέλις.
τί οὐ κατεύδει παρ' ἐμέ; ΕΥΡ. χαῖρε, τοξότα·
οὐ γὰρ γένοιτ' ἂν τοῦτο. ΤΟΞ. ναὶ ναί, γρᾴδιο,

ADNOTATIO CRITICA.

v. 1184 σὺ e coniectura adieci. — v. 1185 ὡς et ὥσπερ Bothius. — γογγυλί Engerus. — v. 1187 κλαῦσί Bentleius. — Post v. 1187 ἀνακύπτη. καὶ παρακύπτι· ἀπεψωλημένος. verba delenda esse vidit Bentleius. — v. 1190 οὐκὶ πιλῆσι Dindorfius. — v. 1192 ὡς et ὥσπερ Engerus. — v. 1194 ναὶ ναί Brunckius. — γρᾴδιο Bothius.

SCRIPTURAE DISCREPANTIA.

v. 1184 κάτησο, κάτησο] — κάτησο· κάτησο· *R* — κάτησο κάτησο *G* | ναῖκι ναί,] ναίκι· ναὶ *R* ναίκι ναι *G* | σὺ τυγάτριον] τυγάτριον *RG* ‖ v. 1185 ὡς] ὥς *RG* | στέριπο] σπεριπο *R* corr. in στεριπὸ R^2 στεριπὸ est in *G* | τιττί'] τιτ' τὶ' *R* τιττι' *G* | ὥσπερ] ὥσπερ *RG* | γογγυλί] γογγύλι *R* γογγύλη notatum est λ puncto *G* ‖ v. 1186 ΕΥΡ.] — *RG* | ἔτι] : ἔτι *R* — ἔτι *G* ‖ v. 1187 ΤΟΞ.] — *R* om. *G* | τὸ πυγή] το πυγή *R* τὸ πυγὴ *G* | κλαῦσί γ', ἂν μὴ 'νδον μένῃς.] κλαυσῖ (corr. ex κλαυσεῖ) γ' ἂν μή 'νδον μένῃς. *R* κλαυσεῖ γ' ἂν μ' ἤνδον μένῃς *G* ‖ Post v. 1187 novo versu legitur: ἀνακύπτη. καὶ παρακύπτι· ἀπεψωλημένος· *R* ἀνακύπτη καὶ παρακύπτι ἀπεψωλημένος *G* ‖ v. 1188 εἶεν·] εἶεν *R* εἰ ἐν *G* | καλὴ τὸ] καλὴ το *R* καλῆ τὸ *G* | τὸ πόστιον] τὸ ποστίον ras. corr. ex τὸ σποστίον *R* το ποστίον est in *G* ‖ v. 1189 ΕΥΡ.] — *RG* | θοἰμάτιον] θοιμάτιον *RG* | ὥρα 'στὶ νῷν] ὥρα 'στιν νῷν *R* ὥρα' 'στί νῷν *G* ‖ v. 1190 ΤΟΞ. οὐκὶ πιλῆσι] : τί οὐκ ἐπιλήσει *R* — τί οὐκ ἐπιλήσει *G* ‖ v. 1191 ΕΥΡ.] — *R* om. *G* | ΤΟΞ.] : *R* — *G* | ὦ ὦ ὦ] ο ο ο *RG* | παπαπαπαῖ,] παπαπα· παῖ· *R* παπαπαπαπαῖ *G* ‖ v. 1192 ὡς] — ὡς *R* ὡς *G* | ὥσπερ] ὥσπερ *RG* ‖ Ante v. 1193 erasa est nota personae (—) in *R* | τί] τι *R* corr. in τί R^2 | ΕΥΡ.] : *R* — *G* ‖ v. 1194 οὐ] corr. ex — οὐ *RG* | γὰρ] in textu omissum minio supra lineam adscriptum est in *G* | γένοιτ'] γενοιτ' *R* corr. in γένοιτ' R^2 | ΤΟΞ.] : *R* — *G* | ναὶ ναί,] ναὶ *RG* | γρᾴδιο,] γράδιον *RG*

ἐμοὶ κάρισο σὺ τοῦτο. ΕΥΡ. δώσεις οὖν δραχμήν;
ΤΟΞ. ναὶ ναῖκι δῶσι. ΕΥΡ. τἀργύριον τοίνυν φέρε.
ΤΟΞ. ἀλλ' οὐκ ἔκ' οὐδέν· ἀλλὰ τὸ συβίνην λαβέ.
ΕΥΡ. ἔπειτα κομιεῖς αὖθις. ΤΟΞ. ἀκολούτει, τέκνον.
σὺ δὲ τοῦτο τήρει τὴ γέροντο, γρᾴδιο.
ὄνομα δὲ σοὶ τί ἐστίν; ΕΥΡ. Ἀρτεμισία.
μέμνησο τοίνυν τοὔνυμ'. ΤΟΞ. Ἀρταμουξία.
ΕΥΡ. Ἑρμῆ δόλιε, ταυτὶ μὲν ἔτι καλῶς ποιεῖς.
σὺ μὲν οὖν ἀπότρεχε, παιδάριον, τουτὶ λαβών·
ἐγὼ δὲ λύσω τόνδε. σὺ δ' ὅπως ἀνδρικῶς,
ὅταν λυθῇς τάχιστα, φεύξει, καὶ τενεῖς
ὡς τὴν γυναῖκα καὶ τὰ παιδί' οἴκαδε.
ΚΗΔ. ἐμοὶ μελήσει ταῦτά γ', ἢν ἅπαξ λυθῶ.

ADNOTATIO CRITICA.

v. 1195 *κάρισο σὺ* Brunckius, sed *R* adducere videtur, ut scribamus: *ἐμοὶ σὺ κάρισο τοῦτο*. Nam in archetypo sic scriptum fuisse videtur: *ἐμοὶ σὺ κάρισοσο τοῦτο*, quod sibi correxisse videbatur, qui *R* exaravit librarius, scribens: *ἐμοὶ κάρισος οὐ τοῦτο*. — v. 1197 *ἔκ' οὐδέν* Engerus. — *συβίνην* Brunckius. — v. 1198 *κομιεῖς* Bothius. — *αὖθις* Brunckius. — *ἀκολούτει* Brunckius. — v. 1201 *μέμνησο* Reiskius, qui intellexit haec verba Euripidi continuanda esse. — *Ἀρταμουξία* Dindorfius. — v. 1202 nescio, an propter *ἔτι* scribendum sit: *ποίει*.

SCRIPTURAE DISCREPANTIA.

v. 1195 *ἐμοὶ*] corr. ex — *ἐμοὶ R* | inter *ἐμοὶ* et *κάρισο* duae fere litterae erasae sunt in *R* | *κάρισο σὺ*] *κάρισοσ οὺ R κάρισο σοῦ G* | *ΕΥΡ.*] : *R* — *G* ‖ v. 1196 *ΤΟΞ.*] — *RG* | *ναῖκι*] *ναὶκι R ναίκι G* | *ΕΥΡ.*] : *R* — *G* ‖ v. 1197 *ΤΟΞ.*] — *RG* | *ἔκ' οὐδέν·*] *έκ' ὠδὲν R ἔκ' ὠδὲν G* | *ἀλλὰ*] *ἀλλὸ G* | *συβίνην*] *συμβήνην RG* | *λαβέ*] *λάβε RG* ‖ v. 1198 *ΕΥΡ.*] — *RG* | *κομιεῖς*] *κομίζεις* ras. corr. ex *κωμίζεις* ut videtur *R κομίζεις* est in *G* | *αὖθις*] *αὐτοῖς RG* | *ΤΟΞ.*] : *R* — *G* | *ἀκολούτει*] *ἀκουλούτι R ἀκολούτι G* ‖ v. 1199 *σὺ*] — *σὺ RG* | *τήρει τὴ*] *τήρει· τὴ R τήρει τὴ G* | *γρᾴδιο*] *γραδιο R γράδιο G* ‖ v. 1200 *ὄνομα*] ras. corr. ex — *ὄνομα R* — *ὄνομα* est in *G* | *δὲ σοὶ*] *δε σοι R δέ σοι G* | *ἐστίν;*] *εστιν R ἐστιν G* | *ΕΥΡ.*] : *R* — *G* ‖ v. 1201 *μέμνησο*] — *μεμνῆσι RG* | *ΤΟΞ.*] omm. *RG* | *Ἀρταμουξία*] *ἀρτομουξία RG* ‖ v. 1202 *ΕΥΡ.*] — *RG* | *ταυτὶ*] *ταυτί G* | *ποιεῖς*] *ποεῖς RG* ‖ v. 1204 *ἐγὼ*] — *ἐγὼ RG* | *τόνδε. σὺ δ'*] *τόν δε σύ δ' G* ‖ v. 1205 *ὅταν*] *ὅτ' ἂν RG* ‖ v. 1206 *τὴν*] *την R* corr. in *τὴν* R^2 ‖ v. 1207 *ΚΗΔ.*] — *R* $\overset{\delta}{\text{κη}}$ add. R^2 $\overset{\delta}{\text{κη}}$ est in *G* | *ἢν*] *ἠν R*